NICANDER

ALEXI-PHARMACA

WITH PREVIEW

EPIC POEM .ORG

DIGITAL CLASSICS

INTERLEAVABLE

2.0

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

The **RESTRICTED INTERLEAVED LAYOUT** of this PUBLIC DOMAIN TEXT requires a license available only at SEAHANDPRESS.COM (LINK).

PRINT:
1 to **6**

Notes

Notes

αὐχέν᾽ ἀποτμήξας ἅρπηι γονόεντα Μεδούσης,
ῥεια Μυκηναίηισιν ἐνηέξησεν ἀρούραις,
Κηφῆος νέα δῶρα, μύκης ὅθι κάππεσεν ἅρπης,
ἄκρον ὑπὸ πρηῶνα Μελανθίδος, ἔνθα τε νύμφη
Λαγγείης πόμα κεῖνο Διὸς τεκμήρατο παιδί.
πολλάκι δ᾽ ἐνθρύψειας ἐν ὀπταλέηισιν ἀκοσταῖς
Γερραίης λιβάνοιο χύσιν περιπηγέα θάμνοις·
καί τε σύ γ᾽ ἢ καρύης ἄπο δάκρυον ἢ ἀταλύμνου
ἢ πτελέης, ὅ τε πολλὸν ἀεὶ καταλείβεται ὄσχαις,
κόμμινά τε χλιόωντι ποτῶι ἐπαρωγέα τήξαις,
ὄφρα τὰ μέν τ᾽ ἐρύγηισι, τά δ᾽ ἑψητοῖσι δαμασθεὶς
◆◆ ἀλθήσηι ὑδάτεσσιν, ὅτ᾽ ἰκμήνηι δέμας ἱδρώς.
καί κεν ὅ γ᾽ ἄλλοτε δόρπα δεδεγμένος, ἄλλοτε δ᾽ οἴνης
πιοτέρης κορέοιτο, καὶ ἀκλέα πότμον ἀλύξαι.
  μὴ μὲν, κανθαρίδος σιτηβόρου εὖτ᾽ ἂν ὀδώδηι,
κεῖνο ποτὸν δέξαιτο, χυτῆι ἐναλίγκια πίσσηι·
πίσσης γὰρ ῥώθωσιν ἄγει βάρος, ἐν δὲ χαλινοῖς
οἷά τε δὴ καρφεῖα νέον βεβρωμένα κέδρου.
αἳ δ᾽ ὁτὲ μὲν πλαδόωντι ποτῶι ἐπὶ χείλεσι δηχμὸν
τεύχουσιν, τοτὲ δ᾽ αὖτε περὶ στόμα νείατα γαστρός·
ἄλλοτε καὶ μεσάτη ἐπιδάκνεται ἄλγεσι νηδὺς
ἢ κύστις βρωθεῖσα· περιψαύουσι δ᾽ ἀνῖαι,
θώρηκος τόθι χόνδρος ὑπὲρ κύτος ἕζετο γαστρός·
αὐτοὶ δ᾽ ἀσχαλόωσιν, ἄλη δέ φιν ἤθεα φωτὸς
ἄψυχος πεδάει· ὃ δ᾽ ἀελπέα δάμναται ἄταις,
L1[O] οἷά τε δὴ γήρεια νέον τεθρυμμένα κάκτου
𝔸 ἠέρ᾽ ἐπιπλάζοντα διαψαίρουσι πνοῆισι.
τῶι δὲ σύ πολλάκι μὲν γληχώ ποταμηίσι νύμφαις
ἐμπλήδην κυκεῶνα πόροις ἐν κύμβει τεύξας,
◆ νηστείρης Δηιοῦς μορόεν ποτόν, ὧι ποτε Δηιώ
λαυκανίην ἔβρεξεν ἀν᾽ ἄστυρον Ἱπποθόωντος
Θρηίσσης ἀθύροισιν ὑπὸ ῥήτρηισιν Ἰάμβης.
δήποτε δ᾽ ἢ σιάλοιο καρήατος ἠὲ καὶ ἀμνοῦ
ἀμμίγδην σπεράδεσσιν ἐυτροχάλοισι λίνοιο,
ἠὲ νέον κορσεῖα ταμών κερόεντα χιμαίρης,
ἢ ἔτι που χηνὸς μορόεν ποτὸν αἴνυσο χύτρου,
ἐς δ᾽ ἔμετον κορέσαιο, τὰ δ᾽ ἀθρόα νειόθι βράσσοις
ἐμμαπέως ἔτ᾽ ἄπεπτα πύληι μεμιασμένα δόρπα.
πολλάκι δ᾽ ἐν κλυστῆρι νέον γλάγος οἰὸς ἀμέλξας
κλύζε, τὰ δ᾽ ἤλιθα γαστρὸς ἀφόρδια κεινώσειας·
ἄλλοτ᾽ ἀλυσθαίνοντι ποθὲν γάλα πῖον ἀρήξει·
ἠὲ σύ γ᾽ ἀμπελόεντα γλυκεῖ ἔνι καύλεα κόψαις
χλωρὰ, νέον πετάλοισι περιβρίθοντα κυλούσας·
ἠὲ μελισσάων καμάτωι ἔνι παῦρα μορύξαις
σκορπιόεντα χαδὼν ψαθυρῆς ἐκ ῥίζεα γαίης
αἰὲν κεντρήεντα πόη γε μὲν ὕψι τέθηλεν
οἵη περ μολόθουρος, ἔνισχνα δὲ καύλεα βάλλει.
καί τε σύ δραχμάων πισύρων βάρος αἴνυσο γαίης
Παρθενίης, τὴν Φυλλὶς ὑπὸ κνημοῖσιν ἀνῆκεν,
Ἰμβρασίδος γαίης χιονώδεος, ἥν τε κεράστης

NICANDER

ALEXI-PHARMACA

WITH PREVIEW

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek (ii CE)
copy text: Otto Schneider (1865)
typeface: Sea Hand Press 20

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this **PUBLIC DOMAIN TEXT** is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 🇺🇸 630 lines 2.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT
2-SIDED:
3 to **6**

Εἰ καὶ μὴ σύγκληρα κατ᾽ Ἀσίδα τείχεα δῆμοι
τύρσεσιν ἐστήσαντο, τέων ἀνεδέγμεθα βλάστας,
Πρωταγόρη, δολιχὸς δὲ διάπροθι χῶρος ἐέργει,
ῥεῖά κέ τοι ποσίεσσιν ἀλέξια φαρμακοέσσαις
αὐδήσαιμ᾽, ἅτε φῶτας ἐνιχριμφθέντα δαμάζει·
ἦ γὰρ δὴ σὺ μὲν ἄγχι πολυστροίβοιο θαλάσσης
ἄρκτον ὑπ᾽ ὀμφαλόεσσαν ἐνάσσαο, ἧχί τε Ῥείης
Λοβρίνης θαλάμαι τε καὶ ὀργαστήριον Ἄττεω,
αὐτὰρ ἐγώ, τόθι παῖδες ἐυζήλοιο Κρεούσης
πιστάτην ἐδάσαντο γεωμορίην ἠπείρου,
ἑζόμενος τριπόδεσσι παρὰ Κλαρίοις Ἑκάτνιο. —
Ἀλλ᾽ ἤτοι χολόεν μὲν ἴδε στομίοισι δυσαλθὲς
πνυθείης ἀκόνιτον, ὃ δή ῥ᾽ Ἀχερωίδες ὄχθαι
φύουσιν, τόθι χάσμα δυσέκδρομον Εὐβουλῆος
ἄστυρά τε Πριόλαο καταστρεφθέντα δέδουπε.
τοῖο δὲ πάντα χαλινὰ καὶ οὐρανόεσσαν ὑπήνην
οὖλα θ᾽ ὑποστύφει χυλόεν ποτὸν, ἀμφὶ δὲ πρώτοις
εἰλύεται στέρνοισι κακῆι ἀλάλυγγι βαρῦνον
φῶτ᾽ ἐπικαρθιόωντα· δύηι δ᾽ ἐπιδάκνεται ἄκρον
νειαίρης ἄκλειστον ἀειρόμενον στόμα γαστρός,
τεύχεος ἣν κραδίην ἐπιδορπίου, οἱ δὲ δοχαίην
κλείουσι στομάχοιο, πύλη δ᾽ ἐπικέκλιται ἀρχαῖς
πρωτα κόλων, ὅθι πᾶσα βροτῶν ἄλις ἐμφέρεται δαίς·
αἰεὶ δ᾽ ἐκ φαέων νοτέων ὑπολείβεται ἱδρώς·
ἡ δὲ ταρασσομένη τὰ μὲι ἔβρασεν ἤλιθα νηδὺς
πνεύματα, πολλοὶ δ᾽ ἔνερθε κατὰ μέσην ὄμφαλον ἵζει·
κράατι δ᾽ ἐν βάρος ἐχθρὸν, ὑπὸ κροτάφοισι δὲ παλμὸς
πυκνὸς ἐπεμφέρεται, τὰ δὲ διπλόα δέρκεται ὄσσοις
οἷα χαλικραίηι νύχιος δεδαμασμένος οἴνηι.
ὡς δ᾽ ὁπότ᾽ ἀγριόεσσαν ὑποθλίψαντες ὀπώρην
Σιληνοὶ κεραοῖο Διωνύσοιο τιθηνοὶ
πρῶτον ἐπαφρίζοντι ποτῶι φρένα θωρηχθέντες
ὄθμασι δινήθησαν ἔπι, σφαλεροῖσι δὲ κώλοις
Νυσαίην ἀνὰ κλιτὺν ἐπέδραμον ἀφραίνοντες,
ὣς οἵγε σκοτόωσι κακῆι βεβαρηότες ἄτηι.
τὴν μέν τε κλείουσι μυοκτόνον, ἦ γάρ ἀνιγρούς
παμπήδην ὕρακας λιχμήμονας ἠρήμωσεν,
οἱ δέ τε πορδαλιαγχὲς, ἐπεὶ θήρεσσι πελόροις
πότμον βουπελάται τε καὶ αἰγινομῆες ἔθεντο
Ἴδης ἐν νεμέεσσι Φαλακραίηι ἐνὶ βήσσηι,
πολλάκι θηλυφόνον καὶ κάμμορον· ἐν δ᾽ Ἀκοναίοις
δηλήειν ἀκόνιτον ἐνεβλάστησεν ὀρόγκοις.
τῶι καί που τιτάνοιο χερὸς βάρος ἔσσεται ἄρκος
πιμπλαμένης, ὅτε νέκταρ ἐύτριβι κιρρὸν ἀφύσσηις
μετρήδην — κοτύλη δὲ πέλοι καταμέστιος οἴνης —,
σὺν δὲ καὶ ἀβροτόνοιο ταμὼν ἄπο καύλεα θάμνου
ἢ χλωεροῦ πρασίοιο, τὸ δὴ μελίφυλλον ὑδεῦσι·
καί τε σὺ ποιήεντος ἀειθαλέος χαμελαίης
βλάστην πηγανιόν τε πόροις ἐν βάμματι σίμβλων,
σβεννὺς αἰθαλόεντα μύδρον γενύεσσι πυράγρης
ἠὲ σιδηρήεσσαν ἀπὸ τρύγα, τήν τε καμίνων
ἔντοσθεν χοάνοιο διχῆ πυρὰς ἤλασε λιγνύς,
ἄλλοτε δὲ χρυσοῖο νέον βάρος ἐν πυρὶ θάλψας
ἠὲ καὶ ἀργυρόεν θολερῶι ἐνὶ πώματι βάπτοις·
πολλάκι δ᾽ ἡμιδαὲς χειρὸς βάρος αἴνυσο θρίων
παῦρα χαμαιπίτυος, τότ ὀνίτιδος αὖον ὀρείης
ἠὲ νέον ῥαδικα πολυκνήμοιο κολούσας,
τέτρασι δ᾽ ἐν κυάθοισι χαδεῖν μελιανθέος οἴνης·
ἢ ἔτι μυελόεντα χαλικρότερον πότον ἴσχοις
ὄρνιθος στρουθοῖο κατοικάδος, εὖθ᾽ ὑπὸ χύτρωι
γυῖα καταθρύπτηισι βιαζομένη πυρὸς αὐγή·
καί τε βοὸς νέα γέντα περιφλίοντος ἀλοιφῆι
τηξάμενος κορέσαιο ποτῶι εὐχανδέα νηδύν·
ναὶ μὴν βαλσάμοιο τότ᾽ ἐν σταγόνεσσι γάλακτος
θηλυτέρης πώλοιο χέαις ὀπόν, ἄλλοτε νύμφαις,
ἔστ᾽ ἂν ὑπὲκ φάρυγος χεύηι παναεργέα δόρπον.
πολλάκι δ᾽ ἢ σκίνακος δερκευνεός ἢ ἀπὸ νεβροῦ
πυετίην τμήξαιο, πόροις δ᾽ ἐν νέκταρι φύρσας,
ἄλλοτε καὶ μορέης ἀπὸ ῥίζεα φοινηέσσης,
ὅλμον ἐνὶ στύπεϊ προβαλὼν καὶ ὁμήρεα κόψας
οἴνωι, ἐνεψηθέντα πόροις καμάτοισι μελίσσης,
καί κεν ἐπικρατέουσαν ἀπεχθέα νοῦσον ἀλάλκοις
φωτὸς, ὁ δ᾽ ἀσφαλεέσσι πάλιν μετὰ ποσσὶν ὁδεύοι.
δεύτερα δ᾽ αἰγλήεντος ἐπιφράζευ πόσιν ἐχθρὴν
κιρναμένην ὀλοοῦ ψιμυθίου, ἥ τε γάλακτι
πάντοθεν ἀφρίζοντι νέην εἰδήνατο χροιήν,
πελλίσιν ἐν γρώνησιν ὅτ᾽ εἴαρι πῖον ἀμέλξαις.
τοῦ μὲν ὑπὲρ γέννάς τε καὶ ἧι ῥυσαίνεται οὖλα
ἀφρὸς ἐπιστύφων ἐμπλάσσεται, ἀμφὶ καὶ ὁλκὸς
τέτρηχε γλώσσης, νέατος δ᾽ ὑποκάρφεται ἰσθμός·
ξηρὰ δ᾽ ἐπιλλύζων ὀλοῆι χελλύσσεται ἄτηι·
ἀβλεμὲς ἦ γὰρ κεῖνο πέλει βάρος, αὐτὰρ ὁ θυμῶι
ναυσιόεις ὀλοοῖσιν ὑποτρύει καμάτοισι·
πολλάκι δ᾽ ἐν φαέεσσιν ἄλην ἑτερειδέα λεύσσων,
ἄλλοτε δ᾽ ὑπναλέος ψύχει δέμας, οὐδ᾽ ἔτι γυῖα
ὡς τὸ πάρος δονέει, καμάτωι δ᾽ ὑποδάμναται εἴκων.
τῶι καὶ πρημαδίης ἢ ὀρχάδος εἶαρ ἐλαίης
ἢ ἔτι μυρτίνης σχεδίην δεπάεσσιν ὀρέξαις,
ὄφρ᾽ ἂν ὀλισθήνασα χέηι κακὰ φάρμακα νηδύς·
ἠὲ σύ γ᾽ οὐθατόεντα διοιδέα μαζὸν ἀμέλξας
ῥεῖα φέροις, φιαρὴν δὲ ποτοῦ ἀποαίνυσο γρῆυν.
καί τε σύ γ᾽ ἢ μαλάχης ῥαδάμους ἢ φυλλάδα τήξας
χυλῶι ἐνὶ κλώθοντι κακηπελέοντα κορέσσαις.
πολλάκι σήσαμα κόπτε, πόροις δ᾽ ἐν νέκταρι καὶ τά·
ἠὲ σύ κληματόεσσαν ἐν ὕδατι πλύνεο τέφρην
θαλπομένην, τὸ δὲ ῥύμμα νεοπλεκέος καλάθοιο
κόλποις ἰκμήνειας· ὃ γάρ τ᾽ ἀναδέξεται ἰλύν.
καί τε κατηριφθέντα μετ᾽ ἀργήεντος ἐλαίου
σκλήρ᾽ ἀπὸ περσειῆς κάρυα βλάβος οἶον ἐρύξει,
Περσεὺς ἥν ποτε ποσσὶ λιπὼν Κηφηΐδα γαῖαν,

ἄγνου τε βρύα λευκά, καὶ ἐμπρίοντ' ὀνόγυρον·
αὔτως δὲ τρήχοντα ταμὼν ἄπο κλήματα σίδης,
ἠὲ καὶ ἀσφοδέλοιο νέον πολυαυξέα μόσχον,
τρύχνον τε, σκύρα τ' ἐχθρὰ, τά τ' εἴαρι σίνατο βούτην,
ἦμος ὅταν σκυρόωσι βόες καυλεῖα φαγοῦσαι·
ναὶ μὴν πευκεδάνοιο βαρυπνόου, οὗ τε καὶ ὀδμὴ
θηρί' ἀποσσεύει τε καὶ ἀντιόωντα διώκει.
καὶ τὰ μὲν εἰκαίηι παράθου ἀγραυλέι κοίτηι,
ἄλλα δὲ φωλειοις· τὰ δὲ διπλᾶσσαιο χεείαις.
εἰ γε μὲν, ἐς τεῦχος κεραμήιον ἠὲ καὶ ὄλπην
κεδρίδας ἐνθρύπτων λιπάοις εὐήρεα γυῖα,
ἢ καὶ πευκεδάνοιο βαρυπνόου, ἄλλοτ' ὀρείου
αὖα καταψήχοιο λίπει ἔνι φύλλα κονύζης·
αὔτως δ' ἀλθήεντ' ἐλελίσφακον, ἐν δέ τε ῥίζαν
σιλφίου, ἣν κνηστῆρι κατατρίψειαν ὀδόντες. —
πολλάκι καὶ βροτέην σιάλων ὑποέτρεσαν ὀδμήν. —
εἰ δὲ σύ γε τρίψας ὀλιγωι ἐν βάμματι κάμπην
κηπαίην, δροσόεσσαν, ἐπὶ χλωρηίδα νώτωι,
ἠὲ καὶ ἀγριάδος μαλάχης ἐγκύμονι κάρφει
γυῖα πέριξ λιπάσειας, ἀναίμακτός κεν ἰαύοις.
ψήχεο δ' ἐν στέρνωι προβαλὼν μυλόεντι θυείης
ἐν μέν θ' ἁβροτάνοιο δύω κομόωντας ὀράμνυος
καρδάμου ἀμμίγδην· — ὀδελοῦ δέ οἱ αἴσιος ὁλκή· —
ἐν δὲ χεροπληθῆ καρπὸν νεοθηλέα δαυχνοῦ
λειαίνειν τριπτῆρι · τὰ δὲ τροχοειδέα πλάσσων,
τέρσαι ὑποσκιόεντι βαλὼν ἀνεμώδεϊ χώρωι·
αὖα δ' ἐν ὄλπηι θρύπτε, καὶ αὐτίκα γυῖα λιπαίνοις.
  εἴ γε μὲν ἐκ τριόδοιο μεμιγμένα κνώδαλα χύτρωι
ζωὰ, νέον θορνύντα, καὶ ἐν θρόνα τοιάδε βάλληις,
δήεις οὐλομένηισιν ἀλεξητήριον ἄταις·
ἐν μὲν γὰρ μυελοῖο νεοσφανέος ἐλάφοιο
δραχμάων τρίφατον δεκάδος καταβάλλεο βρῖθος,
ἐν δὲ τρίτην μοῖραν ῥοδέου χοὸς, ἥν τε θυωροὶ
πρώτην μεσσατίην τε πολύτριπτον καλέονται·
ἰσόμορον δ' ὠμοῖο χέειν ἀργῆτος ἐλαίου,
τετράμορον κηροῖο· τὰ δ ἐν περιηγεί γάστρηι
θάλπε κατασπέρχων, ἔστ' ἂν περὶ σάρκες ἀκάνθης
μελδόμεναι θρύπτωνται· ἔπειτα δὲ λάζεο τυκτὴν
εὐεργῆ λάκτιν, τὰ δὲ μυρία πάντα ταράσσειν
συμφύρδην ὀφίεσσιν· ἑκάς δ' ἀπόερσον ἀκάνθας·
καὶ γὰρ ταῖς κακοεργὸς ὁμῶς ἐνιτέτροφεν ἰός.
γυῖα δὲ πάντα λίπαζε καὶ εἰς ὁδὸν, ἢ ἐπὶ κοῖτον,
ἢ ὅταν αὐαλέου θέρεος μεθ' ἁλώια ἔργα
ζωσάμενος θρίναξι βαθὺν διακρίνεαι ἄντλον.
  εἰ δέ που ἐν δακέεσσιν ἀφαρμάκτωι χροῒ κύρσηις
ἄκμηνος σίτων, ὅτε δὴ κακὸν ἄνδρας ἰάπτει,
αἶψά κεν ἡμετέρηισιν ἐρωήσειας ἐφετμαῖς.
τῶν ἤτοι θήλεια παλίγκοτος ἀντομένοισι
δάχματι, πλειοτέρη δὲ καὶ ὁλκαιήν ἐπὶ σειρῆν·
τοὔνεκα καὶ θανάτοιο θοώτερος ἵξεται αἶσα.
ἀλλ' ἤτοι θέρεος βλαβερὸν δάκος ἐξαλέασθαι

ἀμνὸς Χησιαδεσσι νέον σημήνατο νύμφαις
Κερκέτεω νιφόεντος ὑπὸ σχοινώδεσιν ὄχθαις·
ἢ καὶ σειραίοιο πόσιν διπλήθεα τεύξαις·
σὺν δέ τε πηγανόεντας ἐνιθρύψειης ὀράμνους,
ὀργάζων λίπεϊ ῥοδέωι θρόνα, πολλάκι χραίνοις
ἰρινέωι, τό τε πολλὸν ἐπαλθέα νοῦσον ἔτευξεν.
  ἣν γε μὲν οὐλόμενόν γε ποτὸν κορίοιο δυσαλθὲς
ἀφραδέως δεπάεσσιν ἀπεχθομένοισι πάσηται,
οἳ μέν τ' ἀφροσύνηι ἐμπληγέες οἷά τε μᾶργοι
δήμια λαβάζουσι παραπλῆγές θ' ἅτε Βάκχαι
ὀξὺ μέλος βοόωσιν ἀταρμύκτωι φρενὸς οἴστρωι.
τῶι μέν τ' ἐξ ἑδανοῖο πόροις δέπας ἔμπλεον οἴνης,
Πράμνιον αὐτοκρηές, ὅπως ὑπετύψατο ληνοῦ·
ἢ νύμφαις τήξαιο βαλὼν ἁλός ἔμπλεα κύμβην·
πολλάκι δ' ὀρταλίχων ἁπαλὴν ὠδῖνα κενώσας
ἀφρὸν ἐπεγκεράσαιο, θοοῦ δορπήια κέπφου.
τῶι γάρ δὴ ζωήν τε σαοῖ, καὶ πότμον ἐπισπεῖ
εὖτε δόλοις νήχοντη κακοφθόρα τέκν' ἁλιήων
οἰωνὸν χραίνωσιν, ὃ δ' ἐς χέρας ἔμπεσε παίδων
θηρεύων ἀφροιο νέην κλῦδα λευκαίνουσαν.
καί τε σύ γ' ἀγλεύκην βάψαις ἰόεντα θάλασσαν,
ἥν τε καὶ ἀτμεύειν ἀνέμοις πόρεν Ἐννοσίγαιος
σὺν πυρί. καὶ γὰρ δὴ τὸ πνοαῖς συνδάμναται ἐχθραῖς·
πῦρ μὲν ἀείζωον καὶ ἀχύνετον ἔτρεσεν ὕδωρ
ἀργέστας, καί ῥ' ἣ μὲν ἀκοσμήεσσα, φιλοργὴς
δεσπόζει νηῶν τε καὶ ἐμφθορέων αἰζηῶν,
ὕλη δ' ἐχθομένοιο πυρὸς κατὰ θεσμὸν ἀκούει
ναὶ μὴν ἀτμένιόν τε κεραιόμενον λίπος οἴνηι
ἢ χιόνι γλυκέος μίγδην πόσις ἄλγος ἐρυξει,
ἦμος ὑπὸ ζάγκλῃσι περιβρίθουσαν ὀπωρην
ῥυσαλεήν ἑδανοῖο καὶ ἐκ ψιθιής ἐλίνοιο
κείροντες θλίβωσιν, ὅτε ῥηιζηδᾶ μέλισσαι,
πεμφρηδών, σφῆκές τε καὶ ἐκ βέμβικες ὄρειαι
γλεῦκος ἅλις δαίνυνται ἐπὶ ῥαγέεσσι πεσοῦσαι,
πιοτέρην ὅτε βότρυν ἐσινάτο κηκὰς ἀλώπηξ.
  καί τε σὺ κωνείου βλαβόεν τεκμαίρεο πῶμα·
κεῖνο ποτὸν δὴ γάρ τε καρήατι φοινὸν ἰάπτει
νύκτα φέρον σκοτόεσσαν· ἐδίνησεν δὲ καὶ ὄσσε,
ἴχνεσι δὲ σφαλεροί τε καὶ ἐμπλάζοντες ἀγυιαῖς
χερσὶν ἐφερπύζουσι· κακὸς δ' ὑπὸ νειάτα πνιχμὸς
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον·
ἄκρα δέ τοι ψύχει, περὶ δὲ φλέβες ἔνδοθι γυίων
ῥωμαλέαι στέλλονται· ὃ δ' ἠέρα παῦρον ἀτύζει
οἷα κατηβολέων, ψυχὴ δ' Ἀιδωνέα λεύσσει.
τον μέν τ' ἢ λίπεος κορέοις ἢ ἄμισγέος οἴνης,
ὄφρα κεν ἐξεερύγηισι κακὴν καὶ ἐπώδυνον ἄτην·
ἠὲ σύ γε κλυστῆρος ἐνεὶς ὁπλίζεο τεῦχος.
πολλάκι δ' ἢ οἴνης ἀμιγῆ πόσιν, ἢ ἀπὸ δάφνης,
Τεμπίδος ἢ δαυχνοῖο φέροις ἐκ καύλεα κόψας,
ἢ πρώτη Φοίβοιο κατέστεφε Δελφίδα χαίτην,

ἢ πέτερι κνίδης τε μίγα σπερμεῖα λειήνας
νείμειας, τοτὲ νέκταρ ὅπῶι ἐμπευκέι χράνας·
δήποτε δ᾽ ἰρινέου θυέος μετρηδὸν ὀρέξαις
σίλφιά τ᾽ ἐνθρυφθέντα μετ᾽ ἀργήεντος ἐλαίου·
ἐν δὲ μειλιζώρου γλυκέος πόσιν, ἐν δὲ γάλακτος
ἀφριόεν νέμε τεῦχος ὑπερ πυρὸς ἠρέμα θάλψας.
καί κεν λοιγήεντι παρασχεδὸν ἄχθος ἀμύνοις
τοξικῶι εὖτ᾽ ἀχέεσσι βαρύνηται ποτῶι ἀνήρ.
τοῦ καὶ ἔνερθε γλῶσσα παχύνεται, ἀμφὶ δὲ χείλη
οἰδαλέα βρίθοντα περὶ στωμάτεσσι βαρύνει·
ξηρά δ᾽ ἄναπτύει, νεόθεν δ᾽ ἐκρήγνυται οὖλα·
✦✦ πολλάκι δ᾽ ἐς κραδίην πτοίην βάλε, πᾶν δὲ νόημα
ἔμπληκτον μεμόρηκε κακῆι ἐσφαλμένον ἄτηι,
αὐτὰρ ὃ μηκάζει μανίης ὕπο μυρία φλύζων,
δηθάκι δ᾽ ἀχθόμενος βοάαι, ἅ τις ἐμπελάδην φώς
ἀμφιβρότην κώδειαν ἀπὸ ξιφέεσσιν ἀμηθεις,
ἢ ἅτε κερνοφόρος ζάκορος βωμίστρια Ῥειης
εἰνάδι λαοφόροισιν ἐνιχρίμπτουσα κελεύθοις
μακρὸν ἐπεμβοάαι γλώσσηι θρόον, οἱ δὲ τρέουσιν
Ἰδαίης ῥιγηλὸν ὅτ᾽ εἰσαΐωσιν ὑλαγμόν·
ὣς ὃ νόου λύσσηι ἐσφαλμένα βρυχανάαται
ὠρυδὸν, λοξαῖς δὲ κόραις ταυρώδεα λεύσσων
θήγει λευκὸν ὀδόντα, παραφρίζει δὲ χαλινοῖς.
τὸν μὲν καὶ δεσμοῖσι πολυπλέκτοισι πιάξας
νέκταρι θωρήξαιο, καὶ οὐ χατέοντα κορέσκων
L1[I] ἦκα βιησάμενος· διὰ δὲ στόμα βρῦκον ὀχλίζοις,
𝔹 ὄφρ᾽ ἂν ὑπεξερύγηισι δαμαζόμενος χερὶ λώβην.
ἠὲ σύ βοσκαδίης χηνὸς νέον ὀρταλιχῆα
ὕδασιν ἐντήξαιο πυρὸς μεμορημένον αὐγαῖς·
✦ καί τε σὺ μηλείης ῥηχώδεος ἄγρια κάρφη
οὔρεσιν ἐνθρέφθεντα πόροις ἀπὸ σίνεα κόψας,
ἢ ἔτι καὶ κλήροισιν ἐπήβολα, τοῖά περ ὧραι
εἰαριναὶ φορέουσιν ἐνεψιήματα κούραις,
ἄλλοτε δὲ στρούθεια, τοτὲ βλοσυροῖο Κύδωνος
κεῖνο φυτὸν Κρήτηθεν, ὃ δή ῥ᾽ ἐκόμισσαν ἄναυροι·
πολλακι δὴ σφυρησιν ἅλις ἐναολλέα κόψας
ὕδασιν ἐμβρέξαιο, νέην δ᾽ ὀσμήρεα γληχώ
σπέρμασι μηλειοισι βάλοις ἐνομηρεα φύρων.
καί τε συ γ᾽ ἢ ῥοδεης θυόεν μαλλοῖσιν ἀφύσσων
παῦρα λίπος στάξειας ἀνοιγομένος στομάτεσσιν,
ἠὲ καὶ ἰρινέοιο· μόλις δέ κε μυρί ἐπιτλὰς
ἤμασιν ἐν πολέεσσιν ἀκροσφαλὲς ἴχνος ἰήλαι
ἀσφαλέως, πτοιητὸν ἔχων ἑτεροπλανὲς ὄθμα.
τῶι μὲν Γερραῖοι νομάδες χαλκήρεας αἰχμὰς
οἵ τε παρ᾽ Εὐφρήταο ῥόον πολέοντες ἀρούρας
χραίνουσιν· τὰ δὲ πολλὸν ἀναλθέα τραύματα τεύχει
σάρκα μελαινομένην, πικρὸς δ᾽ ὑποβόσκεται ὕδρης
ἰὸς, σηπόμενον δὲ μύδωι ἐκρήγνυται ἔρφος.
ἢν δὲ τὸ Μηδείης Κολχηίδος ἐχθόμενον πῦρ
κεῖνό τις ἐνδέξηται, ἐφήμερον, οὗ περὶ χείλη

ἀλλὰ σύ γε σταθμοῖο καὶ αὐλίου ἑρπετὰ φύγδην
ῥηιδίως ἐκ πάντα διώξεαι, ἢ ἀπ᾽ ἐρίπνης,
ἠὲ καὶ αὐτοπόνοιο χαμευνάδος, ἦμος ἀν᾽ ἀγροὺς
φεύγων αὐαλέου θέρεος πυρόεσσαν ἀϋτμὴν
αἴθριος ἐν καλάμηι στορέσας ἀκρέσπερος εὕδηις,
ἢ καὶ ἄν᾽ ὑδρήεντα παρὲκ λόφον, ἢ ἐνὶ βήσσης
ἐσχατιῆι, ὅθι πλεῖστα κινώπετα βόσκεται ὕλην,
[δρυμοὺς καὶ λασιωνας ἀμορβαιους τε χαράδρας]
καί τε παρὲξ λιστρωτόν ἅλω δρόμον, ἠδ᾽ ἵνα ποιή
πρῶτα κυϊσκομένη σκιάει χλοάοντας ἰάμνους,
τῆμος ὅτ᾽ ἀζαλέων φολίδων ἀπεδύσατο γῆρας
μῶλυς ἐπιστείβων, ὅτε φωλεὸν εἴαρι φεύγων
ὄμμασιν ἀμβλώσσει, μαράθου δέ ἑ νήχυτος ὅρπηξ
βοσκηθεὶς ὠκύν τε καὶ αὐγήεντα τίθησι.
Θιβρὴν δ᾽ ἐξελάσεις ὀφίων ἐπιλωβέα κῆρα,
καπνείων ἐλάφοιο πολυγλώχινα κεραίην,
ἄλλοτε δ᾽ ἀζαλέην δαίων ἐγγαγίδα πετρην,
ἣν οὐδὲ κρατεροῖο πυρὸς περικαίνυται ὁρμή·
ἐν δὲ πυλυσχιδέος βλήτρου πυρὶ βάλλεο χαίτην·
ἢ σύ γε καχρυόεσσαν ἑλών πυριθαλπέα ῥίζαν
καρδάμωι ἀμμίγδην ἰσοελκέι· μίσγε δ᾽ ἔνοδμον
ζορκός ἐνὶ πλάστιγγι νέον κέρας ἀσκελὲς ἱστὰς,
καί τε μελανθείου βαρυαέος, ἄλλοτε θείου,
ἄλλοτε δ᾽ ἀσφάλτοιο φέρων ἰσοαχθέα μοῖραν·
ἠὲ σύ γε Θρήισσαν ἐνιφλέξαις πυρὶ λᾶαν,
ἥ θ᾽ ὕδατι βρεχθεῖσα σελάσσεται, ἔσβεσε δ᾽ αὐγὴν, L1[I]
τυτθὸν ὅτ᾽ ὀδμήσαιτο ἐπιχρανθέντος ἐλαίου. 𝔹
τὴν δ᾽ ἀπὸ Θρηικίου νομέες ποταμοῖο φέρονται,
ὃν Πόντον καλέουσι· τόθι Θρήικες ἀμολγοί,
κριοφάγοι μήλοισιν ἀεργηλοῖσιν ἕπονται.
ναὶ μὴν καὶ βαρύοδμος ἐπὶ φλογὶ ζωγρηθεῖσα
χαλβάνη, ἄκνηστίς τε, καὶ ἡ πριόνεσσι τομαίη,
κέδρος, πουλυόδουσι καταψηχθεῖσα γενείοις,
ἐν φλογιῆι καηνηλὸν ἄγει καὶ φυξιον ὀδμήν.
τοῖς δὴ χηραμὰ κοῖλα καὶ ὑληώρεας εὐνὰς
κεινώσεις, δαπέδωι δὲ πεσὼν ὕπνοιο κορέσσηι.
εἰ δὲ τὰ μὲν καμάτου ἐπιδεύεται, ἄγχι δέ τοι νὺξ
αὖλιν ἄγει, κοίτου δὲ λιλαίεαι ἔργον ἀνύσσας,
τῆμος δὴ ποταμοῖο πολυρραγέος κατὰ δίνας
ὑδρηλὴν καλάμινθον ὀπάζεο χαιτήεσσαν·
πολλὴ γὰρ λιβάσιν παραέξεται, ἀμφί τε χείλη
ἕρσεται, ἀγλαύροισιν ἀγαλλομένη ποταμοῖσιν.
ἢ σύ γ᾽ ὑποστορέσαιο λύγον πολυανθέα κόψας,
ἢ πόλιον βαρύοδμον, ὃ δὴ ῥίγιστον ὄδωδεν·
ὣς δ᾽ αὔτως ἐχίειον, ὀριγανόεσσά τε χαίτη,
ναὶ μὴν ἀβροτόνοιο, τό τ᾽ ἄγριον οὔρεσι θάλλει
ἀργεννὴν ὑπὸ πέζαν, ἢ ἑρπύλλοιο νομαίου,
ὅς τε φιλόζωος νοτερήν ἐπιβόσκεται αἶαν
ῥιζοβόλος, λασίοισιν ἀεὶ φύλλοισι κατήρης.
φράζεσθαι δ᾽ ἐπέοικε χαμαιζήλοιο κονύζης
ἄγνου τε βρύα λευκά, καὶ ἐμπρίοντ᾽ ὀνόγυρον·

τῶι δ' ὁτὲ μὲν σμύρνης ὀδελοῦ πόρε διπλόον ἄχθος,
ἄλλοτε δ' ὁρμίνοιο νεήν χύσιν, ἄλλοτε κόψαις
οὐρείην ὑπέρεικον, ὅθ' ὑσσώπου ὀροδάμνους,
πολλάκι δ' ἀγριόεντα κράδην, σπέραδός τε σελίνου
Ἴσθμιον, ὧι θ' ὑπὸ κοῦρον ἀλίβλαπτον Μελικέρτην
Σισυφίδαι κτερίσαντες ἐπηέξησαν ἀέθλους.
ἠὲ σύ γ' ἐν πέπεριν ῥυτῆι συνομήρεα φώξας
οἴνωι ἐνιτρίψαιο, κακῆς δ' ἀπερύκευ νούσου,
κύπρου τε βλαστεῖα νεανθέα, πολλάκι σίδης
πρωτόγονον κυτίνοιο πόροις ἀνθήμονα καρπόν.
[μὴ μὲν δὴ σμῖλον σὺ κακὴν ἐλατηίδα μάρψαις
Οἰταίην, θανάτοιο πολυκλαύτοιο δότειραν,
ἥν τε καὶ ἐμπλείουσα χαλικροτέρη πόσις οἴνης
οἴη ἐπαλθήσειε παραχρέος, ἡνίκα φωτὸς
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον.]
[καὶ τὰ μὲν οὖν Νίκανδρος ἑῆι ἐνικάτθετο βίβλωι
μοχθήεντα μύκητα παρ' ἀνέρι φαρμακόεντα.
πρὸς δ' ἔτι τοῖς, Δίκτυννα τεῆς ἐχθήρατο κλῶνας
Ἥρη τ' Ἰμβρασίη μούνη στέφος οὐχ ὑπέδεκτο
κάλλεος, οὕνεκα Κύπριν, ὅτ' εἰς ἔριν ἠέρθησαν
ἀθάναται, κόσμησεν ἐν Ἰδαίοισιν ὄρεσσι, —
τῆς σύ γ' ἀπ' εὐύδροιο νάπης, εὐαλθὲς ὄνειαρ,
καρπὸν πορφυρόεντα συναλδέα χειμερίῃσιν
ἠελίου θαλφθέντα βολαῖς δοίδυκι λεήνας
χυλὸν ὑπὲκ λεπτῆς ὀθόνης ἢ σχοινίδι κύρτηι
L2[O] 𝔹 ἐκθλίψαντα πορεῖν κυάθου κυτυληδόνα πλήρη
ἢ πλεῖον, πλεῖον γὰρ ὀνήιον· — οὐ γὰρ ἀνιγρὸν
πῶμα βροτοῖς· — τόδε γάρ τε καὶ ἄρκιον, αἴκε πίηισθα.]
καί κ' ἔνθ' ὑμνοπόλοιο καὶ εἰσέτι Νικάνδροιο
μνῆστιν ἔχοις, θεσμὸν δὲ Διὸς ξενίοιο φυλάσσοις. —

Theriaca

Ῥειά κέ τοι μορφάς τε σίνη τ' ὀλοφώια θηρῶν
ἀπροϊδῆ τύψαντα λύσιν θ' ἑτεραλκέα κήδευς,
φίλ' Ἑρμησιάναξ, πολέων κυδίστατε παῶν,
ἔμπεδα φωνήσαιμι· σὲ δ' ἂν πολύεργος ἀροτρεὺς
βουκαῖός τ' ἀλέγοι καὶ ὀροιτύπος, εὖτε καθ' ὕλην
ἢ καὶ ἀριτρεύοντι βάλῃ ἔπι λοιγὸν ὀδόντα,
τοῖα περιφρασθέντος ἀλεξητήρια νούσων.
ἀλλ' ἤτοι κακοεργὰ φαλάγγια, σὺν καὶ ἀνιγροὺς
ἑρπηστὰς ἔχιάς τε καὶ ἄχθεα μυρία γαίης
Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος, εἰ ἐτεόν περ
Ἀσκραῖος μυχάτοιο Μελισσήεντος ἐπ' ὄχθαις
Ἡσίοδος κατέλεξε παρ' ὕδασι Περμησσοῖο.
τὸν δὲ χαλαζήεπα κόρη Τιτηνὶς ἀνῆκε
σκορπίον, ἐκ κέντροιο τεθηγμένον, ἦμος ἐπέχρα
Βοιωτῶι τεύχουσα κακὸν μόρον Ὠαρίωνι,
ἀχράντων ὅτε χερσὶ θεῆς ἐδράξατο πέπλων·
αὐτὰρ ὅγε στιβαροῖο κατὰ σφυρὸν ἤλασεν ἴχνευς,
σκορπιος ἀπροϊδὴς ὀλίγωι ὑπὸ λᾶι λοχήσας·
τοῦ δὲ τέρας περίσημον ὑπ' ἀστέρας ἀπλανὲς αὔτως
οἷα κυνηλατέοντος ἀείδελον ἐστήρικται.

Nicander Alexipharm.

δευομένου δυσάλυκτος ἰάπτεται ἄμμιγα κνηθμός
οἷά τ' ὀπῶι νιφόεντι κράδης ἢ τρηχέι κνίδηι
χρῶτα μιαινομένοις ἢ καὶ σπειρώδει κόρσηι
σκίλλης, ἥ τ' ἔκπαγλα νέην φοινίξατο σάρκα.
τοῦ καὶ ἐπισχομένοιο περὶ στόμαχον βάρος ἵζει
πρῶτον ἐρεπτόμενον, μετέπειτα δὲ λοιγέι συρμῶι
ῥιζόθεν ἑλκωθέντα, κακὸν δ' ἀποήρυγε δειρῆς,
ὡς εἴ τε κρεάων θολερὸν πλύμα χεύατο δαιτρός,
σὺν δέ τε καὶ νηδὺς μεμιασμένα λύματα βάλλει.
ἀλλὰ σύ πολλάκι μὲν χαίτην δρυὸς οὐλάδα κόψας.
πολλάκι καὶ φηγοῖο πόροις ἀκύλοισιν ὁμαρτηι,
ἠὲ συ γε βδήλαιο νέον γλάγος ἔνδοθι πέλλης,
αὐτὰρ ὃ τοῦ κορεόιτο, καὶ ἐν στομάτεσσιν ἐρύξας.
ἦ μὴν πουλυγόνοιο τοτὲ βλαστήματ' ἀρήξει,
ἄλλοτε δὴ ῥιζεῖα καθεψηθέντα γάλακτι.
σὺν δὲ καὶ ἀμπελόεις ἕλικας ἐνθρύπτεο νύμφαις.
ἴσως καὶ βατόεντα περὶ πτορθεῖα κολούσας.
καί τε σύ γυμνώσειας ἐυτρεφέος νέα τέρφῆ
καστηνοῦ, καρύοιο λαχυφλοίοιο κάλυμμα,
νείαιραν τόθι σάρκα περὶ σκύλος αὖον ὀπάζει
δυσλεπεός καρύοιο, τὸ Κασταvὶς ἔτρεφεν αἶα.
ῥεια δὲ νάρθηκος νεάτην ἐξαίνυσο νηδὺν,
ὅς τε Προμηθείοιο κλοπὴν ἀνεδέξατο φώρης·
σὺν δὲ καὶ ἑρπύλλοιο φιλοζώοιο πέτηλα,
εὐφίμου τ' ἀπὸ καρπὸν ἅλις καταβάλλω μύρτου·
L2[O] 𝔹 ἢ καί που σιδόεντος ἀποβρέξαιο κάλυμμα
καρπείου, μιγάδην δὲ βαλών ἐμπίσεο μήλοις,
ὄφρ' ἂν ἔπι στῦφόν τι ποτῶι, νοῦσον δὲ κεδάσσεις.
Ἰξιόεν δέ σε μή τι δόλωι παρὰ χείλεσι πῶμα
οὐλόμενον λήσειεν, ὅ τ' ὠκιμοειδὲς ὄδωδε.
τοῦ μὲν ὑπὸ γλώσσης νέατος τρηχύνεται ὁλκὸς
νέρθεν ἐπιφλεγέθων, τὸ δέ οἱ ἀμπάζεται ἦτορ·
λυσσηθεὶς γλῶσσαν δὲ καταπρίει κυνοδόντι,
δὴ γὰρ ὅτ' ἔμπληκτος φρένα δάμναται· ἀμφὶ δὲ δοιοὺς
εἰκῆι ἐπιφράσσουσα πόρους τυφλώσατο νηδὺς
ὑγρῶν τε βρωτῶν τε, καταπνίγουσα δὲ πνεῦμα
ἐντὸς ὑποβρομέει, ὀλίγωι δ' ἐνελίσσεται ὄγμωι
πολλάκι δὴ βρυντῆισιν ἀνομβρήεντος ὀλύμπου
εἰδόμενον, τοτὲ δ' αὖτε κακοῖς ῥόχθοισι θαλάσσης.
οἵοις πετραίῃσιν ὑποβρέμεται σπιλάδεσσι.
τῶι καὶ στρευγομένωι περ ἀνήλυθεν ἐκ καμάτοιο
πνεῦμα μόλις, πόσιες δὲ παραυτίκα λυματ' ἔχευαν
φαρμακόεις ὠοῖσιν ἀλίγκια, τοῖα τε βοσκὰς
ὀρταλὶς αἰχμητῆισιν ὑπευνασθεῖσα νεοσσοῖς
ἄλλοτε μὲν πληγῆισι νέον θρομβήια γαστρὸς
ἔκβαλεν ἐν μηνιγξιν ἀνόστεα, πολλάκι νούσωι
δαμναμένη δύσποτμον ὑπὲκ γόνον ἔκχεε γαίηι.
τῶι μέν τ' εὐβρηχέος ἀψινθίου ἄλγος ἐρύξει
ἐνστῦφον πόμα κεῖνο νεοθλίπτωι ὑπὸ γλεύκει·
καί ποτε ῥητίνην τερμινθίδα, πολλάκι πεύκης.

πολλάκι καὶ πίτυος γοερῆς ἀπὸ δάκρυα τμήξαις,
Μαρσύου ἧχί τε Φοῖβος ἀπὸ φλόα δύσατο γυίων,
ἥ δὲ μόρον πυλύπυστον ἐπαιάζουσα κατ' ἄγκη
οἴη συνεχέως ἀδινὴν ἀναβάλλεται ἠχήν.
ἆσαι δ' ἢ πολίοιο μυοκτόνου ἀργέος ἄνθην.
ἢ ἔτι καὶ ῥυτῆς πεδανάς ἀπαμέργεο βλάστας,
νάρδον, λιμναιόν τε χαδὼν ἀπὸ κάστορος ὄρχιν·
ἢ ὀδελὸν κνηστῆρι κατατρίψαιο χαρακτῶι
σιλφίου, ἄλλοτε δ' ἶσον ἀποτμήξειας ὀποῖο.
πολλάκι δ' ἀγροτέρης τραγοριγανου ἠὲ γάλακτος
πηγνυμένου κορέοιτο νεημέλκτηι ἐνὶ πέλληι.
✦✦ ἣν δέ τις ἀφροσύνηι ταύρου νέον αἷμα πάσηται,
στρευγεδόνι προδέδουπε δαμαζόμενος καμάτοισιν,
ἦμος πιλνάμενον στέρνοις κρυσταίνεται εἶαρ
ῥεῖα, θρομβοῦται δὲ μέσωι ἐνὶ τεύχει γαστρὸς·
φράσσωνται δὲ πόροι, τὸ δὲ θλίβεται ἔνδοθι πνεῦμα
αὐχένος ἐμπλασθέντος, ὃ δὲ σπαδόνεσσιν ἀλύων
δηθάκις ἐν γαίηι σπαίρει μεμορυχμένος ἀφρῶι.
τῶι μέν τ' ἢ ὀπόεντας ἀποκραδίσειας ἐρινοὺς,
ὄξει δ' ἐμπίσαιο, τὸ δ' ἀθρόον ὕδατι μίξαις
συνκεράων νύμφας τε καὶ ἐνστῦφον ποτὸν ὄξευς,
ἠὲ καὶ ἐκβδήλαιο καταχθέος ἕρματα γαστρός.
καί τε σὺ πυετίην ὀθόνης πολυωπέι κόλπωι
φύρσιμον ἠθήσαιο, τοτὲ προκὸς, ἄλλοτε νεβροῦ,
ἢ ἐρίφου, τοτὲ δ' ἂν σύ καὶ εὐσκάρθμοιο λαγωοῦ
L2[I] αἰνύμενος μογέοντι φέροις εὐαλθέ' ἀρωγήν.
𝔹 ἠὲ λίτρου στήδην ὀδελοῦ πόρε τριπλόον ἄχθος
εὐτριβέος, κίρνα δὲ πυτῶι ἐνδευκέι Βάκχον,
ἐν καὶ σιλφιόεσσιιν ὀποῖο τε μοιρίδα λίτρην,
✦ καὶ σπέραδος κραμβῆεν ἄδην μεμορυχμένον ὄξει.
ἆσαι δὲ ῥάδικα κακοχλοίοιο κονύζης
ἢ πέπεριν, τά τε βλαστὰ κατασμώξαιο βάτοιο,
καί κεν πηγνυμένοιο χύσιν διὰ ῥεῖα κεδάσσαις
ἠὲ διαθρύψειας ἐν ἄγγεσιν ἑστηκυῖαν.
μὴ μὲν ἐπαλγύνουσα πόσις βουπρήστιδος ἐχθρῆς
λήσειεν, σὺ δὲ φῶτα δαμαζόμενον πεπύθοιο.
ἣ δ' ἤτοι λίτρωι μὲν ἐπιχρώζουσα χαλινὰ
εἴδεται ἐμβρυχθεῖσα, βαρύπνοος· ἀμφὶ δὲ γαστρὸς
ἄλγεα δινεύοντα περὶ στομάτεσσιν ὄρωρεν·
οὖρα δὲ τυφλοῦται, νεάτη δ' ὑπὸ κύστις ὀρεχθεῖ·
πᾶσα δέ οἱ νηδὺς διαπίμπραται, ὡς ὁπόθ' ὕδωψ
τυμπανόεις ἀνὰ μέσσον ἀφυσγετὸς ὀμφαλὸν ἵζει·
ἀμφὶ δέ οἱ γυίοις τετανόν περιφαίνεται ἔρφος.
ἢ καί που δαμάλεις, ἐριγάστορας ἄλλοτε μόσχους
πίμπραται, ὁππότε θῆρα νομαζόμενοι δατεόνται·

τούνεκα τὴν βούπρηστιν ἐπικλείουσι νομῆες.
τῶι δὲ καὶ εὐκραδέος τριέτει ἐν νέκταρι μίξαις
συκέης αὐανθεῖσαν ἅλις πόσιν ὀμφαλόεσσαν,
ἢ ἔτι καὶ σφύρηι μιγάδην τεθλασμὲνα κόψας
ἐν πυρὶ τηξάμενος πορέειν ἀλκτήρια νούσων.

τερσαίνοις ὀρόβοιο παλήματι· καί ποτε κνίδην
ἐψαλεὴν κρίμνοισι παλυνάμενος ψαθυροῖσιν
εὖ λίπεϊ χραίνοιο, βορῆς δ' ἀέκοντα κορέσκοις.
ναὶ μὴν ῥητίνη τε καὶ ἱερὰ ἔργα μελίσσης
ῥίζα τε χαλβανόεσσα καὶ ὤεα θιβρὰ χελύνης
ἄλθαίνει, τοτὲ νέρθε πυρὸς ζαφέλοιο κεραίης
[ἀλθαινει καὶ γέντα συὸς φλιδόωντος ἀλοιφῆι]
ἀμμίγδην ἁλίοιο καθεψηθέντα χελύνης
γυίοις, ἥ τ' ἀκιρῆισι διαπλώει πτερύγεσσιν,
ἄλλοτε δ' οὐρείης κυτισηνόμου, ἥν τ' ἀκάκητα ?
Ἑρμείης· σαρκὸς γάρ ἀπ' οὖν νόσφισσε χέλειον ?
αἰόλον, ἄγκωνας δὲ δύω παρετείνατο πέζαις.
καί τε σύ γ' ἢ γερύνων λαιδρούς δαμάσαιο τοκῆας,
ἄμμιγα δὲ ῥίζας ἠρυγγίδας, ἢ καὶ ἐπαρκὲς
θάλπε βαλὼν χύτρωι σκαμμώνιον, οἷσι κορέσκοις
ἀνέρα, καὶ θανάτοιο πέλας βεβαῶτα σαώσεις.
ἤν γε μὲν ἐκ φρυνοῖο θερειομένου ποτὸν ἴσχηι
ἢ ἔτι καὶ κωφοῖο λαχειδέος, ὃς ποτὶ θάμνοις
εἴαρι προσφύεται μορόεις λιχμώμενος ἕρσην, —
τῶν ἤτοι θερόεις μὲν ἄγει χλόον ἠύτε θάψου,
γυῖα δὲ πίμπρησιν, τὸ δὲ συνεχὲς ἀθρόον ἄσθμα
δύσπνοον ἐκφέρεται, παρὰ χείλεσι δ' ἐχθρὸν ὄδωδεν.
ἀλλά σὺ τῶι βατράχοιο καθεφθέον ἠὲ καὶ ὀπτὴν
σάρκα πόροις, ὁτὲ πίσσαν ἐν ἡδέι μίγμενος οἴνηι·
καί τε σπλὴν ὀλοοῖο κακὸν βάρος ἤρκεσε φρύνης,
λιμναίης φρύνης πολυαλγέος, ἥ τ' ἐνὶ φύκει L2[I]
πρῶτον ἀπαγγελέουσα βοᾶι θυμάρμενον εἶαρ. 𝔹
αὐτὰρ ὅ γ' ἄφθογγός τε καὶ ἐν δονάκεσσι θαμίζων
πολλάκι μὲν πύξοιν χλόον κατεχεύατο γυίοις,
ἄλλοτε δ' ὑγραίνει χολόεν στόμα· καί ποτε λυγμοὶ
ἀνέρα καρδιόωντα θαμειότεροι κλονέουσι·
δὴν δὲ κατικμάζων ἄγονον σπόρον ἄλλοτε φωτὸς,
πολλάκι θηλυτέρης σκεδάων γυίοισι τέλεσκε.
ναὶ μὴν τοῖς ὁτὲ νέκταρ ἀφυσγετὸν ἐν δεπάεσσι
χεύαις, εἰς ἔμετον δὲ καὶ οὐ χατέοντα πελάζοις,
ἠὲ πίθου φλογιῆι θάλψας κύτος αἰὲν ἐναλθῆ
ἀνέρα θερμάσσαιο, χέαι δ' ἀπὸ νήχυτον ἱδρῶι·
καί τε καὶ αὐξηρῶν δονάκων ἀπὸ ῥίζεα κόψας
οἴνηι ἐπεγκεράσαιο, τὰ δή ῥ' ὑποτέτοφε λίμνη
οἰκείη, τόθι λεπτὰ διὲκ πόσιν ἑρπετὰ νήχει,
ἠὲ φιλοζώοιο κυπειρίδος ἠὲ κυπείρου,
αὐτόν τ' ἠνεκέεσσι τρίβοις πανάπαστον ἐδωδῆς
καὶ πόσιος ξήραινε, κατατρύσαιο δὲ γυῖα.
ἐχθραλέον δέ σε μή τι λιθάργυρος ἀλγινόεσσα
λήσειεν τότε γαστρὶ πέση βάρος ἀμφὶ δὲ μέσσον
πνεύματ' ἀνειλίσσοντα κατ' ὀμφάλιον βρομέησιν,
Nicander Alexipharm.
οἷά περ εἰλίγγοιο δυσαλθέος ὅς τε δαμάζει
ἀνέρας ἀπροφάτοισιν ἐνιπλήσσων ὀδύνησιν.
οὐ μὲν τῶν γ' οὔρων ἄνυται ῥύσις, ἀμφὶ δὲ γυῖα
πίμπραται, αὐτάρ που μολίβωι εἰδήνατο χροιή.

Nicander Alexipharm.

ἤ ὅθ' ὑπὸ ζοφερῆς νυκτὸς κεκαλυμμένος αὐγὰς
ἀφραδέως κρωσσοῖο κατακλίνας παιὰν ἴσχηι
χείλεσι πρὸς χείλη πιέσας. τὸ δὲ λαιμὸν ἀμείψηι
κνώδαλον ἀκροτάτοισιν ἐπιπλῶον ὑδάτεσσι,
τὰς μὲν ἵνα πρώτιστον ὀχλιζόμενος ῥόος ὤσηι,
ἀθρόα προσφύονται ἀμελγόμεναι χροὸς αἷμα,
ἄλλοτε μέν τε πύληισιν ἐφήμεναι, ἔνθα τε πνεῦμα
αἰὲν ἀθροιζόμενον στεινοῦ διαζεύεται ἰσθμοῦ,
ἄλλοτε δὲ στομίοισι πέριξ ἐπενήνοθε γαστρὸς
ἀνέρα πημαίνουσα, νέην δ' ἐπενεῖματο δαῖτα.
τῶι σὺ τοτ' ἐν δεπάεσσι κεραιόμενυν ποτὸν ὄξευς
◆◆ νείμειας, ποτὲ δαῖτα συνήρεα χιονόεσσαν,
πολλάκι κρυστάλλοιο νέον βορέαο παγέντος.
ἠὲ σὺ γυρώσαιο καθαλμέα βώλακα γαίης
ναιομένην, θολερὴν δὲ πόσιν μενοεικέα τεῦχε·
ἢ αὐτὴν ἅλα βάπτε, τότ'ἠελίοισι δαμάζων
εἶθαρ ὀπωρινοῖσι, τότ' ἠνεκὲς ἐν φλογὶ θάλψας·
πολλάκι δ' ἅλα πηκτὸν ὁμιλαδὸν ἢ ἁλὸς ἄχνην
ἐμπίσαις, τήν τ' αἰὲν ἀνὴρ ἁλοπηγὸς ἀγείρει
νειόθ' ὑφισταμένην, ὁπόθ' ὕδασιν ὕδατα μίξηι.
μὴ μὲν δὴ ζύμωμα κακὸν χθονὸς ἀνέρα κήδοι
πολλάκι μὲν στέρνοισιν ἀνοιδέον, ἄλλοτε δ' ἄγχον,
εὖθ' ὑπὸ φωλεύοντα τραφῆι βαθὺν ὁλκὸν ἐχίδνης,
ἰὸν ἀνικμαῖνον στομίων τ' ἀποφώλιον ἄσθμα.
κεῖνο κακὸν ζύμωμα, τὸ δὴ ῥ' ὑδέουσι μύκητας
L3[O] παμπήδην, ἄλλωι γὰρ ἐπ' οὔνομα κέκριται ἄλλο.
𝔹 ἀλλὰ σύ γ' ἢ ῥαφάνοιο πόροις σπειρώδεα κόρσην,
ἢ ῥυτῆς κλώθοντα περὶ σπάδικα κολούσας,
πολλάκι καὶ χαλκοῖο πάλαι μεμογηότος ἄνθην·
◆ ἄλλοτε κληματόεσσαν ἐν ὄξει θρύπτεο τέφρην·
δήποτε ῥιζάδα τρῖβε πυρίτιδα βάμματι χραίνων
ἢ λίτρον, τοτὲ φύλλον ἐναλδόμενον πρασιῆισι
καρδαμίδος, Μῆδόν τε καὶ ἐμπρίοντα σίνηπυν.
σὺν δὲ καὶ οἰνηρὴν φλογιῆι τρύγα τεφρώσαιο
ἠὲ πάτον στρουθοῖο κατοικάδος· ἐκ δὲ βαρεῖαν
χεῖρα κατεμματέων ἐρύγοι λωβήμονα κῆρα.
ἢν δὲ λιπορρίνοιο ποτὸν δυσάλυκτον ἰάψηι
φαρμακίδος σαύρης πανακηδέος, ἣν σαλαμάνδρην
κλείουσιν, τὴν οὐδὲ πυρὸς λωβήσατο λιγνύς,
αἶψα μὲν ἐπρήσθη γλώσσης βάθος, ἂψ δ' ὑπὸ μάλκης
δάμνανται, βαρύθων δὲ κακὸς τρόμος ἄψεα λύει·
οἱ δὲ περισφαλόωντες ἅτε βρέφος ἑρπύζουσι
τετραποδί· νοεραὶ γὰρ ἀπὸ φρένες ἀμβλύνονται·
σάρκα δ' ἐπιτροχόωσαι ἀολλέες ἄκρα πελιδναὶ
σμώδιγγες στίζουσι κεδαιομένης κακότητος.
τῶι δὲ σὺ πολλάκι μὲν πεύκης ἀπὸ δάκρυ' ἀμέρξας
τενθρήνης ἀναμίγδα πόροις ἐν πίσσιν ἔργοις·
ἠὲ χαμαιπίτους βλαστήμονος ἄμμιγα κώνοις
φύλλα καθεψήσειας, ὅσους ἐθρέψατο πεύκη·
ἄλλοτε δὲ σπέραδος κνίδης μυλοεργέι μίσγων

Nicander Alexipharm.

καί κε μελιζώροιο νεόν κορέσαιο ποτοῖο
ἀνέρα λαιμάσσοντα, τοτὲ γλάγος εἰν ἐνὶ χεύας·
πολλάκι φοίνικος ψαφαρὸν καταμίσγεο καρπόν,
ἄλλοτε δ' αὐαλέας δὴν ἀχράδας, ἢ ἀπὸ βάκχης
ἢ ἀπὸ μυρτίνης ὁτὲ μυρτίδας οἰνάδι βάλλων.
ἢ ὅ γε καὶ θηλῆς ἅτε δὴ βρέφος ἐμπελάοιτο
ἀρτιγενές, μαστοῦ δὲ ποτὸν μοσχηδὸν ἀμέλγοι,
οἵη τ' ἐξ ὑμένων νεαλὴς ὕπο οὔθατα μόσχος
βράσσει ἀνακρούουσα χύσιν μενοεικέα θηλῆς·
ἄλλοτε πιαλέης πόσιος χλιαροῖο κορέσκοις,
ἐς δ' ἔμετον βιάοιο καὶ οὐ ποθέοντά περ ἔμπης
χειρὶ βιησάμενος ἠὲ πτερῶι, ἢ ἀπὸ βύβλου
στρεβλον ἐπιγνάμψαιο ταμὼν ἐρυτῆρα φάρυγγος.
ἢν δ' ἐνιτυρωθῆι νεαρὸν γάλα τεύχει γαστρὸς,
δὴ τότε τόνδε πνιχμός ἀθροιζομένοιο δαμάζει.
τῶι δ' ἤτοι τρισσὰς πόσιας πόρε, μέσσα μὲν ὄξευς,
δοιὰς δὲ γλυκέος, στεγανὴν δ' ὑποσύρεο νηδύν·
ἢ ἔτι καὶ Λιβύηθε ποτῶι ἐγκνήθεο ῥίζας
σιλφίου, ἄλλοτ' ὀποῖο, νέμοις δ' ἐν βάμματι τήξας·
πολλάκι δὲ θρύπτειραν ἐπεγκεράσαιο κονίην
ἠὲ νέον βρυόεντα θύμου στάχυν· ἄλλοτ' ἀμύνει
βότρυς ἐυκνήμοιο μίγα βρεχθέντος ἐν οἴνηι·
ἐν καί που ταμίσοιο ποτὸν διεχεύατο θρόμβους,
καὶ χλοεραὶ μίνθης ἄπο φυλλάδες, ἠὲ μελίσσης
ἠὲ καὶ ἐνστύφοντι ποτῶι μεμορυχμέναι ὄξευς
ἀλλ' ἄγε δὴ φράζοιο δορύκνιον, οὗ τε γάλακτι L3[O]
ὠπή τε βρῶσίς τε παρὰ στομάτεσσιν ἔικται. 𝔹
τῶι δ' ἤτοι λυγμοὶ μὲν ἀηθέσσοντος ὁμαρτῆι
αὐχέν' ἀνακρούουσιν, ὁ δ' ἀχθόμενος στόμα γαστρὸς
πολλάκι μὲν δαίτην ἀπερεύγεται αἱματόεσσαν,
ἄλλοτε νηδυίων θολερὴν μυξώδεα χεύει,
τηνεσμῶι ὡς εἴ τε δυσέντερος ἀχθόμενος φώς·
δήποτε τειρόμενος καμάτοις κάρφουσι δέδουπε
γυῖα δαμείς· οὐ μὲν ποθέει ξηρὸν στόμα δεῦσαι.
τῶι δὲ σὺ πολλάκι μὲν γλάγεος πόσιν, ἄλλοτε μίγδην
ῥεῖα γλυκὺ νείμειας ἀλυκρότερον δεπάεσσι·
καί τε καὶ ὄρνιθος φιαρῆς πυρὶ τηκομένη σάρξ
θωρήκων ἤμυνεν ἐυτρεφέων βρωθεῖσα·
ἤμυνεν καὶ χυλὸς ἅλις κύμβηισι ῥοφηθεὶς,
ὅσσα τε πετρήεντος ὑπὸ ῥόχθοισι θαλάσσης
κνώδαλα φυκιόεντας ἀεὶ περιβόσκεται ἀγμούς·
ὧν τὰ μὲν ὠμὰ δάσαιτο, τὰ δ' ἑφθέα, πολλὰ δὲ θάλψας
ἐν φλογιῆι · στρόμβων δὲ πολὺ πλέον, ἢ ἔτι κάλχης,
κηραφίδος, πίνης τε καὶ αἰθήεντος ἐχίνου
δαῖτες ἐπαλθήσουσιν ἰδὲ κτένες· οὐδέ τι κῆρυξ
δὴν ἔσεται τήθη τε γεφαιρόμενα μνίοισι.
μηδέ σέ γ' ἐχθομένη λήθηι πόσις — οὐ γὰρ ἄιδρις —
φαρικοῦ, ἢ γναθμοῖσιν ἔπι βαρὺν ὤπασε μόχθον.
τὴν ἤτοι γευθμῶι μὲν ἰσαιομένην μάθε νάρδωι·
ἤνυσε δὲ σφαλεροὺς, ὁτὲ δ' ἄφρονας, ἐν δὲ μονήρη

ῥηιδίως ἀλτῖνι βαρὺν κατεναίρεται ἄνδρα.
ἀλλὰ σὺ πολλάκι μὲν σταδίην εὐανθέα νάρδου
ῥιζίδα θυλακόεσσαν ὀπάζεο, τήν τε Κίλισσαι
πρηόνες ἀλδαίνουσι παρὰ πλημμυρίδα Κέστρου,
ἄλλοτε δὲ σμυρνεῖον ἐντριβές. αἴνυσο δ' αὐτὴν
ἴριδα λειριόεν τε κάρη, τό τ' ἀπέστυγεν Ἀφρώ,
οὕνεκ' ἐριδμαίνεσκε χροῆς ὕπερ, ἐν δὲ νυ θρίοις
ἀργαλέην μεσάτοισιν ὀνειδείην ἐπέλασσε
δεινὴν βρωμήεντος ἐνανθήσασα κορύνην.
παλλάκι δὲ σκύλαιο κάρη, περὶ δ' αἴνυσο λάχνην
κέρσας εὐήκει νεόθεν ξυρῶι, ἐν δέ νυ θάλψαις
ἤια κριθάων νεοθηλέα φυλλάδα τ' ἰσχνὴν
πηγάνου, τήν τ' ὤκιστα βορῆι ἐπεσίνατο κάμπη,
βάμματι δ' ἐνδεύσαιο καὶ εὖ περὶ κόρσεα πλάσσοις.
μὴ δὲ συοσκυάμωι τις αἰδρήεντα κορέσκοι
νηδύν, οἷά τε πολλὰ παρασφαλέες τεύχονται,
ἠὲ νέον σπείρημα καὶ ἀμφίκρηνα κομάων
κοῦροι ἀπειπάμενοι ὀλοήν θ' ἑρπηδόνα γυίων
ὀρθόποδες βαίνοντες ἄνευ σμυγεροῖο τιθήνης
ἠλοσύνηι βρύκωσι κακανθήεντας ὀράμνους,
ἠὲ νέον βρωτῆρας ὑπὸ γναθμοῖσιν ὀδόντας
φαίνοντες, τότε κνηθμὸς ἐνοιδέα δάμναται οὖλα.
τῶι δ' ὁτὲ μὲν γλάγεος καθαρὴν πόσιν ἤλιθα,
ἄλλοτε βουκέραος χιληγόνου, ὄρρα κεραίας
εὐκαμπεῖς πετάλοισιν ὑπηνεμίοισιν ἀέξει,
ἀτμενίωι μέγ' ὄνειαρ ὅτ' ἐμπλώησιν ἐλαίωι·
ἠὲ σύ γ' αὐαλέον κνίδης σπόρον, ἄλλοτε δ' αὐτὴν
νείμαις ὠμόβρωτον ἄδην ἀνὰ φυλλάδ' ἀμέλξαι,
κίχορα, καρδαμίδας τε καὶ ἣν Πέρσειον ἔπουσιν,
ἐν δέ τε νάπειον ῥάφανόν θ' ἅλις, ἐν δέ τε λεπτὰς
ἄμμιγα κρομμύων γηθυλλίδας· ἤρκεσε δ' ἄτην
εὐάγλις κώδεια νέον σκοροδοιο ποθεῖσα.
καί τε σύ μήκωνος κεβληγόνου ὁππότε δάκρυ
πίνωσιν, πεπύθοιο καθυπνέας· ἀμφὶ γὰρ ἄκρα
γυῖα καταψύχουσι, τὰ δ' οὐκ ἀναπίτναται ὄσσε,
ἀλλ' αὔτως βλεφάροισιν ἀκινήεντα δέδηεν·
ἀμφὶ καὶ ὀδμήεις καμάτωι περιλείβεται ἱδρώς
ἀθρόος, ὠχραίνει δὲ ῥέθος, πίμπρησι δὲ χείλη,
δέσμα δ' ἐπεγχαλάουσι γενειάδος, ἐκ δέ τε παῦρον
αὐχένος ἑλκόμενον ψυχρὸν διαινίσσεται ἄσθμα·
πολλάκι δ' ἠὲ πελιδνὸς ὄνυξ μόρον ἢ ἔτι μυκτὴρ
στρεβλὸς ἀπαγγέλλει, ὁτὲ δ' αὖ κοιλώπεες αὐγαί.
Ἄσσα σὺ μὴ δείδιχθι, μέλοιο δὲ πάμπαν ἀρωγῆς,
οἰνάδι καὶ γλυκόεντι ποτῶι κεκαφηότα πιμπλὰς
τινθαλέωι, τοτὲ δ' ἔργα διαθρύψαιο μελίσσης
ἄμμιγα ποιπνύων Ὑμησσίδος, αἵ τ' ἀπὸ μόσχου
σκήνεος ἐξεγένοντο δεδουπότος ἐν νεμέεσσιν·
ἔνθα δὲ καὶ κοίλοιο κατὰ δρυὸς ἐκτίσσαντο
πρῶτόν που θαλάμας συνομήρεες, ἀμφὶ καὶ ἔργων
μνησάμεναι Δηοῖ πολυωπέας ἤνυσαν ὄμπας
βοσκόμεναι θύμα ποσσὶ καὶ ἀνθεμόεσσαν ἐρείκην.
δήποτε δ' ἢ ῥοδέοιν νεύν θύος εὔτριχι λήνει,
ὀχλίξων κυνόδοντα τότ' ἠμύουσι χαλίνοις,
ἐνθλίβοις μαλλὸν δὲ βαθὺν κεκορημένον ἕλκοις,
ἠὲ καὶ ἰρινόεν, τοτὲ δ' αὖ μορόεντος ἐλαίης
αἶψα δὲ τόν γ' ἑκάτερθε διὰ ἔγρεο πλήσσων
ἄλλοτε δ ἐμβοόων, τοτὲ δὲ κνώσσοντα σαλάσσων,
ὄφρα κατηβολέων ὀλοὸν διὰ κῶμα κεδαίηι,
τῆμος δ' ἐξερύγῃσιν ἀλεξόμενος κακὸν ἄλγος.
σπεῖρα δ' ἐνὶ χλιαρῶι λίπεϊ, πρὸ δὲ νέκταρι βάπτων
τρῖβε καὶ ἐκθέρμαινε ποτῶι ἐψυγμένα γυῖα,
ἄλλοτε δ' ἐν δροίτηι κεράων ἐμβάπτεο σάρκας,
αἶψα δὲ τινθαλέοισιν ἐπαιονάασθε λοετροῖς
αἷμ' ἀναλυόμενοι τέτανόν τ' ἐσκληκότα ῥινόν.
Εἰδείης δὲ λαγοῖο κακοφθορέος πόσιν αἰνὴν,
οὐλομένην, τὸν κῦμα πολυστίου τέκεν ἅλμης.
τοῦ δ' ἤτοι λοπίδων μὲν ἴδε πλύματος πέλει ὀδμή,
γευθμὸς δ' ἰχθυόεις νεπόδων ἅτε σαπρυνθέντων
ἠὲ καὶ ἀρρύπτων, ὁπόταν λοπὶς αὐξίδα χραίνηι
ὃς δ' ἤτοι ῥυπόεις μὲν ὑπ' ὀστλίγγεσσιν ἀραιαῖς
τευθίδος ἐμφέρεται νεαλὴς γόνος ἢ ἀπὸ τεύθου,
οἷά τε σηπιάδος φυξήλιδος, ἥ τε μελαίνει
οἶδμα χολῆι δολόεντα μαθοῦσ' ἀγρώστορος ὁρμήν.
τῶν ἤτο ζοφόεις μὲν ἐπὶ χλόος ἔδραμε γυίοις
ἰκτερόεις, σάρκες δὲ περὶ σταλοὶδην μινύθουσι
τηκόμεναι, ὃ δὲ δόρπα κατέστυγεν· ἄλλοτε ῥινὸς
ἄκρον ἐποιδαίνων σφυρὰ πίμπραται, ἀμφὶ δὲ μήλοις
ἄνθε' ἅτε βρυόεντα κυλοιδιόωντος ἐφίζει.
δὴ γὰρ ἐφωμάρτησει ὀλιζοτερη κρίσις οὔρων
ἄλλοτε πορφυρέη, τότ' ἐπιπλέον αἱμάσσουσα.
πᾶς δὲ παρὰ δρακέεσσι φανεὶς ἐχθαίρεται ἔλλοψ,
αὐτὰρ ὁ ναυσιόεις ἁλιήν ἀπεμύξατο δαῖτα.
τῶι μὲν Φωκήεσσαν ἅλις πόσιν ἐλλεβόροιο
νείμειας, τοτὲ δάκρυ νεοβλάστοιο κάμωνος,
ὄφρα ποτὸν νέποδός τε κακοῦ ἐκ φύρματα χεύηι·
ἄλλοτε βρωμήεντος ἀμελγόμενος γάλα πίνοι
ἠὲ χύτρωι τήξας μαλάχης λιπόωντας ὀράμνους·
καί ποτε κεδρινέης πελάνου βάρος ἔμμορε πίσσης·
βρύκοι δ' ἄλλοτε καρπὸν ἅλις φοινώδεα σίδης
Κρησίδος, οἰνωπῆς τε καὶ ἣν Προμένειον ἔπουσι,
σὺν δὲ καὶ Αἰγινῆτιν, ὅσαι τὰ σκληρεά κάρφη
φοίνι' ἀραχνήεντι διαφράσσουσι καλύπτρηι·
ἄλλοτε δ' οἰνοβρῶτα βορὴν ἐν κυριτίδι θλίψαις
ὡς εἴ περ νοτέουσαν ὑπὸ τριπτῆρσιν ἐλαίην.
ἢν δέ τις ἀζαλέηι πεπιεσμένος αὐχένα δίψηι
ἐκ ποταμοῦ ταυρηδὸν ἐπιπροπεσὼν ποτὸν ἴσχηι
λεπτὰ διαστείλας παλάμηι μνιώδεα θρῖα,
τῶι μέν τε ῥοιζηδᾶ φιλαίματος ἐμπελάουσα
ῥύμηι ἅλις προὔτυψε ποτοῦ μέτα χήτεϊ βρώμης
βδέλλα πάλαι λαπαρή τε καὶ ἱμείρουσα φόνοιο·

NICANDER

ALEXI-PHARMACA

WITH PREVIEW

EPIC POEM .ORG

DIGITAL CLASSICS

INTERLEAVABLE

2.0

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

The **RESTRICTED INTERLEAVED LAYOUT** of this PUBLIC DOMAIN TEXT requires a license available only at SEAHANDPRESS.COM (LINK).

PRINT:
1 to **6**

Notes

Notes

πιδύεται, χολόεντι νέον πεφορυγμένον ἰῶι· 1
οὖρα δὲ φοινίσσοντα παρέδραμεν· αἱ δ᾽ ἐπὶ γυίοις
ὠτειλαὶ ῥήγνυνται, ἐπειγόμεναι χροὸς ἄτηι.
μή ποτε τοι θήλει᾽ αἱμορροῒς ἰὸν ἐνείη·
τῆς γὰρ ὀδαξαμένης τὰ μὲν ἀθρόα πίμπραται οὖλα
ῥιζόθεν, ἐξ ὀνύχων δὲ κατείβεται ἀσταγὲς αἷμα·
οἱ δὲ φόνωι μυδόεντες ἀναπλείουσιν ὀδόντες.
εἰ δ᾽ ἔτυμον, Τροίηθεν ἰοῦσ᾽ ἐχαλέψαιο φύλοις
Αἰνελένη, ὅτε νῆα πολύστροιβον παρὰ Νεῖλον
ἔστησαν βυρέαο κακὴν προφυγόντες ὁμοκλήν,
ἦμος ἀποψύχοντα κυβερνητῆρα Κάνωβον
Θώνιος ἐν ψαμάθοις ἀθρήσατο· τύψε γὰρ εὐνῆι
αὐχέν᾽ ἀποθλιφθεῖσα καὶ ἐν βαρὺν ἤρυγεν ἰὸν
αἱμοροῒς θήλεια, κακὸν δέ οἱ ἔχραε κοῖτον.
τῶι δ᾽ Ἑλένη μέσον ὁλκὸν ἐνέθλασε, θραῦσε δ᾽ ἀκάνθης
δεσμά πέριξ νωταῖα, ῥάχις δ᾽ ἐξέδραμε γυίων.
ἐξόθεν αἱμορόοι σκολιοπλανέες τε κεράσται
οἷοι χωλεύουσι κακηπελίηι βαρύθοντες.
εὖ δ᾽ ἂν σηπεδόνος γνοιῆς δέμας, ἄλλο μὲν εἴδει
αἱμορόωι σύμμορφον, ἀτὰρ στίβον ἀντί᾽ ὀκέλλει·
καὶ κεραῶν δ᾽ ἔμπλην δέμας ἄμμορον, ἡ δέ νυ χροιὴ
οἵη περ τάπιδος λασίωι ἐπιδέδρομε τέρφει·
κράατι δ᾽ ἐμβαρύθει, ἐλάχεια δὲ φαίνεται οὐρὴ
ἐσσυμένηι· σκολιὴν γὰρ ὁμῶς ἐπιτείνεται ἄκρην.
τῆς δ᾽ ἤτοι ὀλοὸν καὶ ἐπώδυνον ἔπλετο ἕλκος
σηπεδόνος, νέμεται δὲ μέλας ὀλοφώιος ἰὸς
πᾶν δέμας, αὐαλέηι δὲ περὶ χροῒ καρφομένη θρὶξ
σκίδναται, ὥς γήρεια καταψηχθέντος ἀκάνθης·
ἐκ μὲν γαρ κεφαλῆς τε καὶ ὀφρύος ἀνδρὶ τυπέντι
ῥαίονται, βλεφάρων δὲ μέλαιν᾽ ἐξέφθιτο λάχνη·
ἄψεα δὲ τροχόεντες ἐπιστίζουσι μὲν ἀλφοί,
λεῦκαι τ᾽ ἀργινόεσσαν ἐπισσεύουσιν ἔφηλιν. 1
ναὶ μὴν διψάδος εἶδος ὁμόσεται αἰὲν ἐχίδνηι
παυροτέρης, θανάτου δὲ θοώτερος ἵξεται αἶσα,
οἷσιν ἐνισκίμψηι βλοσυρὸν δάκος· ἤτοι ἀραιὴ
αἰὲν ὑποζοφόεσσα μελαίνεται ἄκροθεν οὐρή·
δάχματι δ᾽ ἐμφλέγεται κραδίη πρόπαν, ἀμφὶ δὲ καύσωι
χείλε᾽ ὑπ᾽ ἀζαλέης αὐαίνεται ἄβροχα δίψης·
αὐτὰρ ὅ γ᾽, ἠύτε ταῦρος ὑπὲρ ποταμοῖο νενευκως, 1
χανδὸν ἀμέτρητον δέχεται ποτόν, εἰσόκε νηδὺς
ὀμφαλὸν ἐξέρρηξε, χέηι δ᾽ ὑπεραχθεά φόρτον.
Ὠγύγιος δ᾽ ἄρα μῦθος ἐν αἰζηοῖσι φορεῖται,
ὡς, ὁπότ᾽ οὐρανὸν ἔσχε Κρόνου πρεσβίστατον αἷμα
νειμάμενος κασιέσσιν ἑκὰς περικυδέας ἀρχὰς
ἰδμοσύνηι νεότητα γέρας πόρεν ἡμερίοισι
κυδαίνων· δὴ γάρ ῥα πυρὸς ληΐστορ᾽ ἔνιπτον,
ἄφρονες· οὐ γὰρ τῆς γε κακοφραδίης ἀπόνηντο.
νωθεῖς γὰρ κάμνοντες ἀμορβεύοντο λεπάργωι
δῶρα· πολύσκαρθμος δὲ κεκαυμένος αὐχένα δίψηι
ῥώετο· γωλειοῖσι δ᾽ ἰδών ὁλκὴρεα θῆρα

NICANDER
THERIACA

WITH PREVIEW

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek (ii CE)
copy text: Otto Schneider (1865)
typeface: Sea Hand Press 20

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this **PUBLIC DOMAIN TEXT** is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 🇺🇸 958 lines 2.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: **3** to **6**

Ρειά κέ τοι μορφάς τε σίνη τ' ὀλοφώια θηρῶν
ἀπροϊδῆ τύψαντα λύσιν θ' ἑτεραλκέα κήδευς,
φίλ' Ἑρμησιάναξ, πολέων κυδίστατε παῶν,
ἔμπεδα φωνήσαιμι· σὲ δ' ἂν πολύεργος ἀροτρεὺς
βουκαῖός τ' ἀλέγοι καὶ ὀροιτύπος, εὖτε καθ' ὕλην
ἢ καὶ ἀριτρεύοντι βάληι ἔπι λοιγὸν ὀδόντα,
τοῖα περιφρασθέντος ἀλεξητήρια νούσων.
◆ ἀλλ' ἤτοι κακοεργὰ φαλάγγια, σὺν καὶ ἀνιγρούς
ἑρπηστὰς ἔχιάς τε καὶ ἄχθεα μυρία γαίης
Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος, εἰ ἐτεόν περ
Ἀσκραῖος μυχάτοιο Μελισσήεντος ἐπ' ὄχθαις
Ἡσίοδος κατέλεξε παρ' ὕδασι Περμησσοῖο.
τὸν δὲ χαλαζήεπα κόρη Τιτηνὶς ἀνῆκε
σκορπίον, ἐκ κέντροιο τεθηγμένον, ἦμος ἐπέχρα
Βοιωτῶι τεύχουσα κακὸν μόρον Ὠαρίωνι,
ἀχράντων ὅτε χερσὶ θεῆς ἐδράξατο πέπλων·
αὐτὰρ ὅγε στιβαροῖο κατὰ σφυρὸν ἤλασεν ἴχνευς,
σκορπιος ἀπροϊδὴς ὀλίγωι ὑπὸ λᾶι λοχήσας·
τοῦ δὲ τέρας περίσημον ὑπ' ἀστέρας ἀπλανὲς αὔτως
οἷα κυνηλατέοντος ἀείδελον ἐστήρικται.
ἀλλὰ σύ γε σταθμοῖο καὶ αὐλίου ἑρπετὰ φύγδην
ῥηιδίως ἐκ πάντα διώξεαι, ἢ ἀπ' ἐρίπνης,
ἠὲ καὶ αὐτοπόνοιο χαμευνάδος, ἦμος ἀν' ἀγροὺς
φεύγων αὐαλέου θέρεος πυρόεσσαν ἀϋτμὴν
αἴθριος ἐν καλάμηι στορέσας ἀκρέσπερος εὕδηις,
L1[I] ἢ καὶ ἄν' ὑδρήεντα παρὲκ λόφον, ἢ ἐνὶ βήσσης
𝔸 ἐσχατιῇ, ὅθι πλεῖστα κινώπετα βόσκεται ὕλην,
[δρυμοὺς καὶ λασιωνας ἀμορβαιους τε χαράδρας]
καί τε παρὲξ λιστρωτόν ἅλω δρόμον, ἠδ' ἵνα ποιή
πρῶτα κυϊσκομένη σκιάει χλοάοντας ἰάμνους,
τῆμος ὅτ' ἀζαλέων φολίδων ἀπεδύσατο γῆρας
μῶλυς ἐπιστείβων, ὅτε φωλεὸν εἴαρι φεύγων
ὄμμασιν ἀμβλώσσει, μαράθου δέ ἑ νήχυτος ὅρπηξ
βοσκηθεὶς ὠκύν τε καὶ αὐγήεντα τίθησι.
Θιβρὴν δ' ἐξελάσεις ὀφίων ἐπιλωβέα κῆρα,
καπνείων ἐλάφοιο πολυγλώχινα κεραίην,
ἄλλοτε δ' ἀζαλέην δαίων ἐγγαγίδα πετρην,
ἣν οὐδὲ κρατεροῖο πυρὸς περικαίνυται ὁρμή·
ἐν δὲ πυλυσχιδέος βλήτρον πυρὶ βάλλεο χαίτην·
ἢ σύ γε καχρυόεσσαν ἑλὼν πυριθαλπέα ῥίζαν
καρδάμωι ἀμμίγδην ἰσοελκέι· μίσγε δ' ἔνοδμον
ζορκός ἐνὶ πλάστιγγι νέον κέρας ἀσκελὲς ἱστὰς,
καί τε μελανθείου βαρυαέος, ἄλλοτε θείου,
ἄλλοτε δ' ἀσφάλτοιο φέρων ἰσοαχθὲα μοῖραν·
ἠὲ σύ γε Θρήισσαν ἐνιφλέξαις πυρὶ λᾶαν,
ἥ θ' ὕδατι βρεχθεῖσα σελάσσεται, ἔσβεσε δ' αυγὴν,
Nicander τυτθὸν ὅτ' ὀδμήσαιτο ἐπιχρανθέντος ἐλαίου.
Theriaca τὴν δ' ἀπὸ Θρηικίου νομέες ποταμοῖο φέρονται,
ὃν Πόντον καλέουσι· τόθι Θρήικες ἀμολγοί,
κριοφάγοι μήλοισιν ἀεργηλοῖσιν ἕπονται.

2 (5C) χειμερίη ζαλόωσα πέριξ βέβριθε χάλαζα.
πολλάκι δὴ χολόεντας ἀπήρυγε νηδύος ὄγκους
ὠχραίνων δέμας ἀμφίς· ὁ δὲ νοτέων περὶ γυίοις
ψυχρότερος νιφετοῖο βολῆς περιχεύεται ἱδρώς.
χροιὴν δ' ἄλλοτε μὲν μολίβου ζοφοειδέος ἴσχει,
ἄλλτε δ' ἠερόεσσα, τότ' ἄνθεσιν εἴσατο χαλκοῦ.
εὖ δ' ἂν καὶ δολόεντα μάθοις ἐπιόντα κεράστην
ἠύτ' ἔχιν· τῶι γάρ τε δομὴν ἰνδάλλεται ἴσην.
ἤτοι ὃ μὲν κόλος ἐστιν, ὁ δ' αὖ κεράεσσι πεποιθώς,
ἄλλοτε μὲν πισύρεσσιν, ὅτ' ἐν δοιοῖσι κεράστης,
χροιῇ δ' ἐν ψαφαρῆι λεπρύνεται, ἐν δ' ἀμάθοισιν
ἢ καὶ ἁματροχιῇσι κατὰ στίβον ἐνδυκὲς αὔει.
τῶν ἤτοι σπειρῆισιν ὃ μὲν θοὸς ἀντία θύνει
ἀτραπὸν ἰθεῖαν δολιχῶι μηρύγματι γαστρός·
αὐτὰρ ὅγε σκαιὸς μεσάτωι ἐπαλίνδεται ὁλκῶι,
οἶμον ὁδοιπλανέων σκολιὴν τετρηχότι νώτωι,
τράμπιδος ὁλκαίης ἀκάτωι ἴσος, ἥ τε δι' ἅλμης
πλευρὸν ὅλον βάπτουσα κακοσταθέοντος ἀήτεω
εἰς ἄνεμων βεβίηται ἀπόκρουστος λιβὸς οὔρωι.
τοῦ μὲν, ὅτ' ἐμβρύξῃσιν, ἀεικέλιον περὶ νύχμα,
ἥλωι ἐειδόμενον τυλόεν πέλει· αἱ δὲ πελιδναὶ
φλύκταιναι πέμφιξιν ἐειδόμεναι ὑετοῖο
δάχμα πέρι πλάζονται, ἀμυδρήεσσαι ἐς ὠπήν.
ἤτοι ἀφαυρότερον τελέει πόνον, ἐννέα δ' αὐγὰς
ἠελίου μογέων ἐπιόσσεται, οἷσι κεράστης L1[I]
οὐλόμενος κακοεργὸν ἐνιχραύσῃ κυνόδοντα. 𝔸
διπλῶι δ' ἐν βουβῶνι καὶ ἰγνυσιν ἀσκελὲς αὔτως
μόχθος ἐνιτρέφεται, πελιός δέ οἱ ἐμφέρεται χρώς·
των δέ τε καμνόντων ὀλίγος περὶ ἄψεα θυμὸς
λείπεται ἐκ καμάτοιο· μόλις γε μὲν ἔκφυγον αἶσαν.
σῆμα δέ τοι δάκεος αἱμορρόου αὖτις ἐνίσπω,
2 (1C) ὅς τε κατ' ἀμβαθμοὺς πετρώδεας αἰὲν ἰαύει,
τρηχὺν ὑπάρπεζον θαλάμην ὀλιγήρεα τεύχων·
ἔνθ' εἰλυθμὸν ἔχεσκεν, ἐπεί τ' ἐκορέσσατο φορβῆς.
μήκει μὲν ποδός ἴχνος ἰσάζεται, αὐτὰρ ἐπ' εὖρος
τέτρυται μύουρος ἀπὸ φλυνέοιο καρήνου.
ἄλλοτε μὲν χροιῇ ψολόεις, ὁτὲ δ' ἔμπαλιν αἰθός.
δειρὴν δ' ἐσφήκωται ἅλις, πεδανὴ δέ οἱ οὐρὴ
2 ζαχρειὲς θλιφθεῖσα παρομφάλιος τετάνυσται.
τυῦ μὲν ὑπὸ νιφόεντα κεράατα δοιὰ μετώπωι
ἔγκειται πάρνοψι φάη λογάδας τι προσεικῆ·
σμερδαλέον δ' ἐπί οἱ λαμυρὸν πέφρικε κάρηνον.
δοχμὰ δ' ἐπισκάζων ὀλίγον δέμας οἷα κεράστης
μέσσον ὅ γ' ἐκ νώτου βαιὸν πλόον αἰὲν ὀκέλλει,
γαίηι ἐπιθλίβων νηδὺν, φολίσιν δὲ καὶ οἴμωι
παῦρον ὑποψοφέων καλάμης χύσιν οἷα διέρπει.
νύχματι δ' ἀρχομένωι μὲν ἐπιτρέχει ἄχροον οἶδος Nicander
κυάνεν· κραδίη δὲ κακὸν περιτέτροφεν ἄλγος· Theriaca
γαστὴρ δ' ὑδατόεσσα διέσσυτο, νυκτὶ δὲ πρώτηι
αἷμα διὲκ ῥινῶν τε καὶ αὐχένας ἠδὲ δ' ὤτων

αὐτίχ' ὁ μὲν ποταμόνδε καθήλατο, τύψε δὲ κώλοις 3 (6C)
Nicander τάρταρον ἰλυόεσσαν, ἄφαρ δ' ἐφορύξατο γυῖα
Theriaca πηλῶι, ἀλινδηθεὶς ὀλίγον δέμας, εἰσόκε λάχνην
σείριος ἀζήνηι, τεύσηι δ' ἄγναπτον ὀδόντι.
τῆμος δ' ἠὲ κάρην λιχμήρεος ἑρπηστᾶο
σμερδαλέης ἔβρυξεν ἐπάλμενος, ἠὲ καὶ οὐρῆς
◆ ἁρπάξας βρυόεντος ἔσω ποταμοῖο κύλισεν.
εὖ δ' ἂν ἐχιδνήεσσαν ἴδοις πολυδευκέα μορφὴν,
ἄλλοτε μὲν δολιχὴν, ὁτὲ παυράδα· τοῖον ἀέξει
Εὐρώπη τ' Ἀσίη τε· τὰ δ' οὐκ ἐπιείκελα δήεις.
ἤτοι ἀν' Εὐρώπην μὲν ὀλίζονα, καί θ' ὑπὲρ ἄκρους
ῥώθωνας κεραοί τε καὶ ἀργίλιπες τελέθουσιν,
αἳ μὲν ὑπὸ Σκείρωνος ὄρη Παμβώνιά τ' αἴπη,
Ῥυπαῖον, Κόρακός τε πάγον, πολιόν τ' Ἀσέληνον·
Ἀσὶς δ' ὀργυιόεντα καὶ ἐς πλέον ἑρπετὰ βόσκει,
οἷα περὶ τρηχὺν Βουκάρτερον, ἢ καὶ ἐρυμνὸς
Αἰσαγέης πρηών καὶ Κέρκαφος ἐντὸς ἐέργει.
τῶν ἤτοι βρεχμοὶ μὲν ἐπὶ πλάτος, ἠδ' ὑπὲρ ἄκρον
ὁλκαῖον σπείρης κολοβὴν ἐπελίσσεται οὐρὴν,
ἀργαλέαις φρίσσουσαν ἐπηετανὸν φολίδεσσι·
νωθεῖ δ' ἔνθα καὶ ἔνθα διὰ δρυμὰ νίσσεται ὁλκωι.
πᾶς δέ τοι ὀξυκάρηνος ἰδεῖν ἔχις, ἄλλοτε μῆκος
μάσσων, ἄλλοτε παῦρος· ἀκιδνότερος δὲ κατ' εὖρος
νηδύος, ἡ δὲ μύουρος ὑφ' ἀλκαίηι τετάνυσται,
L2[O] ἴσως μὲν πεδανὴ δολιχοῦ ὑπὸ πείρασιν ὁλκοῦ,
𝔸 ἴσως δ' ἐκ φολίδων τετρυμένη· αὐτὰρ ἐνωπῆς
γλήνεα φοινίσσει τεθοωμένος, ὀξὺ δὲ δικρῆι
γλώσσηι λιχμάζων νέατον σκωλύπτεται οὐρήν.
κωκυτόν δ' ἐχιαῖον ἐπικλείουσιν ὁδῖται.
τοῦ μὲν ὑπὲρ κυνόδοντε δύω χροῒ τεκμαίρονται
ἰὸν ἐρευγόμενοι· πλέονες δέ τοι αἰὲν ἐχίδνης.
Οὔλωι γὰρ στομίωι ἐμφύεται, ἀμφὶ δὲ σαρκὶ 3 (2C)
ῥεῖά κεν εὐρυνθέντας ἐπιφράσσαιο χαλινούς.
τῆς καὶ ἀπὸ πληγῆς φέρεται λίπει εἴκελος ἰχὼρ,
ἄλλοτε δ' αἱματόεις, τοτὲ δ' ἄχροος· ἡ δ' ἐπί οἱ σὰρξ
πολλάκι μὲν χλοάουσα βαρεῖ ἀναδέδριμεν οἴδει,
ἄλλοτε φοινίσσουσα, τότ' εἴδεται ἄντα πελιδνή·
ἄλλοτε δ' ὑδατόεν κυέει βάρος· αἱ δὲ χαμηλαὶ
πομφόλυγες ὡς εἴ τε περὶ φλύκταιναι ἀραιαὶ 3
οἷα πυρικμήτοιο χροὸς πλαδόωσιν ὕπερθεν.
Σηπεδόνες δέ οἱ ἀμφὶς ἐπίδρομοι, αἱ μὲν ἄτερθεν,
αἱ δὲ κατὰ πληγὴν ἰοειδέα λοιγὸν ἔασι.
πᾶν δ' ἐπί οἱ δριμεία δέμας καταβόσκεται ἄτη
ὀξέα πυρπολέουσα· κατ' ἀσφάραγον δέ τε λυγμοὶ
κιόνά τε ξυνιόντες ἐπασσύτεροι κλονέουσιν.
ἀμφὶ καὶ εἰλίγγοις δέμας ἄχθεται · αἶψα δὲ γυίοις
ἀδρανίη βαρύθουσα καὶ ἰξύι μέρμερος ἵζει·
ἐν δὲ κάρηι σκοτόεν βάρος ἵσταται· αὐτὰρ ὁ κάμνων
ἄλλοτε μὲν δίψηι φάρυγα ξηραίνεται αὔηι
πολλάκι δ' ὀνύχων ἴσχη κρύος, ἀμφὶ δὲ γυίοις

ναὶ μὴν καὶ βαρύοδμος ἐπὶ φλογὶ ζωγρηθεῖσα
χαλβάνη, ἄκνηστίς τε, καὶ ἡ πριόνεσσι τομαίη, Nicander
κέδρος, πουλυόδουσι καταψηχθεῖσα γενείοις, Theriaca
ἐν φλογιῆι καπνηλὸν ἄγει καὶ φύξιον ὀδμήν.
τοῖς δὴ χηραμὰ κοῖλα καὶ ὑληώρεας εὐνὰς
κεινώσεις, δαπέδωι δὲ πεσὼν ὕπνοιο κορέσσηι.
εἰ δὲ τὰ μὲν καμάτου ἐπιδεύεται, ἄγχι δέ τοι νὺξ
αὖλιν ἄγει, κοίτου δὲ λιλαίεαι ἔργον ἀνύσσας,
τῆμος δὴ ποταμοῖο πολυρραγέος κατὰ δίνας
ὑδρηλὴν καλάμινθον ὀπάζεο χαιτήεσσαν·
πολλὴ γὰρ λιβάσιν παραέξεται, ἀμφί τε χείλη
ἕρσεται, ἀγλαύροισιν ἀγαλλομένη ποταμοῖσιν.
ἢ σύ γ' ὑποστορέσαιο λύγον πολυανθέα κόψας,
ἢ πόλιον βαρύοδμον, ὃ δὴ ῥίγιστον ὄδωδεν·
ὡς δ' αὔτως ἐχίειον, ὀριγανόεσσά τε χαίτη,
ναὶ μὴν ἀβροτόνοιο, τό τ' ἄγριον οὔρεσι θάλλει
ἀργεννὴν ὑπὸ πέζαν, ἢ ἑρπύλλοιο νομαίου,
ὅς τε φιλόζωος νοτερὴν ἐπιβόσκεται αἶαν
ῥιζοβόλος, λασίοισιν ἀεὶ φύλλοισι κατήρης.
φράξεσθαι δ' ἐπέοικε χαμαιζήλοιο κονύζης
ἄγνον τε βρύα λευκά, καὶ ἐμπρίοντ' ὀνόγυρον·
αὔτως δὲ τρήχοντα ταμὼν ἄπο κλήματα σίδης,
ἠὲ καὶ ἀσφοδέλοιο νέον πολυαυξέα μόσχον,
τρύχνον τε, σκύρα τ' ἐχθρὰ, τά τ' εἴαρι σίνατο βούτην,
ἦμος ὅταν σκυρόωσι βόες καυλεῖα φαγοῦσαι·
ναὶ μὴν πευκεδάνοιο βαρυπνόου, οὗ τε καὶ ὀδμὴ L2[O]
θηρί' ἀποσσεύει τε καὶ ἀντιόωντα διώκει. 𝔸
καὶ τὰ μὲν εἰκαίηι παράθου ἀγραυλέι κοίτηι,
ἄλλα δὲ φωλειοῖς· τὰ δὲ διπλᾶσσαιο χεείαις.
εἰ γε μὲν, ἐς τεῦχος κεραμήιον ἠὲ καὶ ὄλπην
κεδρίδας ἐνθρύπτων λιπάοις εὐήρεα γυῖα,
ἢ καὶ πευκεδάνοιο βαρυπνόου, ἄλλοτ' ὀρείου
αὖα καταψήχοιο λίπει ἔνι φύλλα κονύζης·
αὔτως δ' ἀλθήεντ' ἐλελίσφακον, ἐν δέ τε ῥίζαν
σιλφίου, ἣν κνηστῆρι κατατρίψειαν ὀδόντες. —
πολλάκι καὶ βροτέην σιάλων ὑποέτρεσαν ὀδμήν. —
εἰ δὲ σύ γε τρίψας ὀλίγωι ἐν βάμματι κάμπην
κηπαίην, δροσόεσσαν, ἐπὶ χλωρηίδα νώτωι,
ἠὲ καὶ ἀγριάδος μαλάχης ἐγκύμονι κάρφει
γυῖα πέριξ λιπάσειας, ἀναίμακτός κεν ἰαύοις.
ψήχεο δ' ἐν στέρνωι προβαλὼν μυλόεντι θυείης
ἐν μέν θ' ἀβροτάνοιο δύω κομόωντας ὀράμνους
καρδάμου ἀμμίγδην· — ὀδελοῦ δέ οἱ αἴσιος ὁλκή· —
ἐν δὲ χεροπληθῆ καρπὸν νεοθηλέα δαυχνοῦ
λειαίνειν τριπτῆρι · τὰ δὲ τροχοειδέα πλάσσων,
τέρσαι ὑποσκιόεντι βαλὼν ἀνεμώδεϊ χώρωι·
αὖα δ' ἐν ὄλπηι θρύπτε, καὶ αὐτίκα γυῖα λιπαίνοις.
εἴ γε μὲν ἐκ τριόδοιο μεμιγμένα κνώδαλα χύτρωι
ζωὰ, νέον θορνύντα, καὶ ἐν θρόνα τοιάδε βάλλῃς,
δήεις οὐλομένῃσιν ἀλεξητήριον ἄταις·

ἐν μὲν γὰρ μυελοῖο νεοσφανέος ἐλάφοιο
δραχμάων τρίφατον δεκάδος καταβάλλεο βρῖθος,
ἐν δὲ τρίτην μοῖραν ῥοδέου χοὸς, ἥν τε θυωροὶ
πρώτην μεσσατίην τε πολύτριπτον καλέονται·
ἰσόμορον δ' ὠμοῖο χέειν ἀργῆτος ἐλαίου,
τετράμορον κηροῖο· τὰ δ ἐν περιηγέι γάστρηι
θάλπε κατασπέρχων, ἔστ' ἂν περὶ σάρκες ἀκάνθης
◆ μελδόμεναι θρύπτωνται· ἔπειτα δὲ λάζεο τυκτὴν
εὐεργῆ λάκτιν, τὰ δὲ μυρία πάντα ταράσσειν
συμφύρδην ὀφίεσσιν· ἑκάς δ' ἀπόερσον ἀκάνθας·
καὶ γὰρ ταῖς κακοεργὸς ὁμῶς ἐνιτέτροφεν ἰός.
γυῖα δὲ πάντα λίπαζε καὶ εἰς ὁδὸν, ἢ ἐπὶ κοῖτον,
ἢ ὅταν αὐαλέου θέρεος μεθ' ἀλώια ἔργα
ζωσάμενος θρίναξι βαθὺν διακρίνεαι ἄντλον.
  εἰ δέ που ἐν δακέεσσιν ἀφαρμάκτωι χροῒ κύρσηις
ἄκμηνος σίτων, ὅτε δὴ κακὸν ἄνδρας ἰάπτει,
αἶψά κεν ἡμετέρηισιν ἐρωήσειας ἐφετμαῖς.
τῶν ἤτοι θήλεια παλίγκοτος ἀντομένοισι
δάχματι, πλειοτέρη δὲ καὶ ὁλκαιήν ἐπὶ σειρῆν·
τούνεκα καὶ θανάτοιο θοώτερος ἵξεται αἶσα.
ἀλλ' ἤτοι θέρεος βλαβερὸν δάκος ἐξαλέασθαι
Πληιάδων φάσιας δεδοκημένον, αἵ θ' ὑπὸ ταύρου
ἀλκαιήν ψαίρουσαι ὀλίζωνες φορέονται·
ἢ ὅτε σὺν τέκνοισι θερειομένοισιν ἀβοσκὴς
φωλειοῦ λοχάδην ὑπὸ γωλεὰ διψὰς ἰαύηι·
L2[I] ἢ ὅτε λίπτηισιν μεθ' ἑὸν νομόν, ἢ ἐπὶ κοῖτον
𝔸 ἐκ νομοῦ ὑπνώουσα κίηι κεκορημένη ὕλης.
μὴ σύ γ' ἐνὶ τριόδοισι τύχοις, ὅτε δάχμα πεψυζώς
περκνός ἔχις θυίηισι τυπῆι ψολόεντος ἐχίδνης·
ἡνίκα θορνυμένου ἔχιος θαλερῶι κυνόδοντι
θουρὰς ἀμύξ ἐμφῦσα κάρην ἀπέκοψεν ὁμεύνου,
οἱ δὲ πατρὸς λώβην μετεκίαθον αὐτίκα τυτθοὶ
γεινόμενοι ἐχιῆς, ἐπεὶ διὰ μητρὸς ἀραιὴν
γαστέρ' ἀναβρώσαντες ἀμήτορες ἐξεγένοντο·
οἴη γὰρ βαρύθει ὑπὸ κύματος, οἱ δὲ καθ' ὕλην
ὠοτόκοι ὄφιες λεπυρὴν θάλπουσι γενέθλην·
μηδ' ὅτε ῥικνῆεν φολίδων περὶ γῆρας ἀμέρσας
ἂψ ἀναφοιτήσηι νεαρῆι κεχαρημένος ἥβηι·
ἢ ὁπότε σκαρθμοὺς ἐλάφων ὀχεῆισιν ἀλύξας
ἀνδρὸς ἐνισκίμψηι χολόων γυιοφθόρον ἰόν·
ἔξοχα γὰρ δολιχοῖσι κινωπησταῖς κοτέουσι
νεβροτόκοι καὶ ζόρκες· ἀνιχνεύουσι δὲ πάντη
τρόχμαλά θ' αἱμασιάς τε καὶ ἰλυοὺς ἐρέθοντες,
σμερδαλέηι μυκτῆρος ἐπισπέρχοντες ἀυτμῆι.
ναὶ μὴν καὶ νιφόεσσα φέρει δυσπαίπαλος Ὄθρυς
φοινὰ δάκη, κοίλη τε φάραγξ καὶ τρηχέες ἀγμοί,
Nicander καὶ λέπας ὑλῆεν· τόθι δίψιος ἐμβατέει σήψ.
Theriaka Χροιὴν δ' ἀλλόφατόν τε καὶ οὐ μίαν οἰαδὸν ἴσχει,
αἰὲν ἐειδόμενος χώρωι, ἵνα χηραμὰ τεύξηι.
τῶν οἱ μὲν λιθάδας τε καὶ ἕρμακας ἐνναίοντες

4 (7C) παυρότεροι, τρηχεῖς δὲ καὶ ἔκπυροι· οὔ κεν ἐκείνων
ἀνδράσι δάχμα πέλει μεταμώνιον, ἀλλὰ κάκηθες·
ἄλλος δ' αὖ κόχλοισι δομὴν ἰνδάλλεται αἴης·
ἄλλωι δ' ἐγχλοάουσα λοπὶς περιμήκεα κύκλον
ποικίλον αἰόλλει· πολέες δ' ἀμάθοισι μιγέντες
σπείρηι λεπραίνονται ἀλινδόμενοι ψαμάθοισι.
φράζεο δ' αὐαλέαις μὲν ἐπιφρικτὴν φολίδεσσιν
ἀσπίδα φοινήεσσαν, ἀμυδρότατον δάκος ἄλλων.
[τῆι μὲν γάρ τε κέλευθος ὁμῶς κατ' ἐναντίον ἕρπει].
ἢ καὶ σμερδαλέον μὲν ἔχει δέμας, ἐν δὲ κελεύθωι
νωχελὲς ἐξ ὁλκοῖο φέρει βάρος, ὑπναλέωι δὲ
αἰὲν ἐπιλλίζουσα φαείνεται ἐνδυκὲς ὄσσωι·
ἀλλ' ὅταν ἢ δυῦπον νέον οὔασιν ἤέ τιν' αὐγὴν
ἀθρήσηι, νωθρὴ μὲν ἀπὸ ῥέθεως βάλεν ὕπνον,
ὁλκῶι δὲ τροχόεσσαν ἅλων εἱλίξατω γαίηι,
λευγαλέον δ' ἀνὰ μέσσα κάρη πεφρικὸς ἀείρει.
τῆς ἤτοι μῆκος μὲν, ὃ κύντατον ἔτρεφεν αἶα,
ὀργυιῆι μετρητόν· ἀτὰρ περιφαίνεται εὖρος,
ὅσσον τ' αἰγανέης δορατοξόος ἤνυσε τέκτων
εἰς ἐνοπὴν ταύρων τε βαρυφθόγγων τε λεόντων.
χροιὴ δ' ἄλλοτε μὲν ψαφαροῖς ἐπιδέδρομε νώτοις
ἢ περὶ μηλινόεσσα καὶ αἰόλος, ἄλλοτε τεφρή,
πολλάκι δ' αἰθαλόεσσα, μελαινομένην ὑπὸ βώλωι
Αἰθιόπων οἵην τε πολύστονος εἰς ἅλα Νεῖλος
πλησάμενος κατέχευεν ἄσιν, προὔτυψε δὲ πόντωι. L2[I]
δοιοὶ δὲ σκυνίοισιν ὑπερφαίνουσι μέτωπον 𝔸
οἷα τύλοι, τὸ δ' ἔνερθεν ὑπαιφοινώισσεται ὄθμα
πολλὸν ὑπὸ σπείρης, ψαφαρὸς δ' ἀναπίμπραται αὐχήν
ἄκριτα ποιφύσσοντος, ὅτ' ἀντομένοισιν ὁδουρός
ἄϊδα προσμάξηται ἐπὶ ζαμενὲς κοτέουσα.
τῆς ἤτοι πίσυρες κοῖλοι ὑπένερθεν ὀδόντες
4 (3C) ἀγκύλοι ἐν γναθμοῖς δολιχήρεες ἐρρίζωνται
ἰοδόκοι, μύχατος δὲ χιτὼν ὑμένεσσι καλύπτει·
ἔνθεν ἀμείλικτον γυίοις ἐνερεύγεται ἰόν.
ἐχθρῶν που τέρα κεῖνα καρήασιν ἐμπελάσειε·
σαρκὶ γὰρ οὔτ' ἐπὸ δάχμα φαείνεται, οὔτε δυσαλθὲς
οἶδος ἐπιφλέγεται, καμάτου δ' ἄτερ ὄλλυται ἀνήρ·
ὑπνηλὸν δ' ἐπὶ νῶκαρ ἄγει βιότοιο τελευτήν. —
4 Ἰχνεύμων δ' ἄρα μοῦνος ἀκήριος ἀσπίδος ὁρμὴν
ἠμὲν ὅτ' ἐς μόθον εἶσιν, ἀλεύεται, ἠδ' ὅτε λυγρὰ
θαλπούσης ὄφιος κηριτρόφου ὤεα γαίηι
πάντα διεσκήνιψε, καὶ ἐξ ὑμένων ἐτίναξε
δαρδάπτων, ὀλοοῖς δὲ συνερραθάγησεν ὀδοῦσι.
μορφὴ δ' ἰχνευτᾶο κινωπέτου οἷον ἀμυδρῆς
ἴκτιδος, ἥ τ' ὄρνισι κατοικιδίηισιν ὄλεθρον
μαίεται ἐξ ὕπνοιο συναρπάζουσα πετεύρων,
ἔνθα λέχος τεύχονται ἐπίκριοι ἢ καὶ ἀφαυρὰ Nicander
τέκνα τιθαιβώσσουσιν ὑπὸ πλευρῆισι θέρουσαι. Theriaca
ἀλλ' ὅταν Αἰγύπτοιο παρὰ θρυόεντας ἰάμνους
ἀσπίσι μῶλον ἔχωσιν ἀθέσφατον εἱλικοέσσαις,

ἑρπετὰ σίνονται· τὸ δέ τοι μέγ' ἀλέξιον εἴη. 5 (8C)
Nicander ἤτοι ὅταν βροτολοιγοῦ ὑπὲκ πόντοιο χελύνην
Theriaca αἰγιαλῶν ἐρύσωσιν ἐπὶ ξερὸν ἀσπαλιῆες,
τὴν δ' ἀνακυπώσας κεφαλῆς ἀπὸ θυμὸν ἀράξαι
μαυλίδι χαλκείῃ, βλοσυρόν δ' ἐξ αἷμα χέασθαι
ἐν κεράμωι νεοκμῆτι καμινόθεν· ἐκ δὲ πελιδνὸν
◆ οὐρὸν ἀπηθῆσαι πλαδάον λαεργέι μάκτρηι·
ἧς ὕπο δὴ τέρσαιο διατρυφὲς αἷμα κεδάσσας
δραχμάων πισύρων μίσγων βάρος· ἐν δὲ κυμίνου
δοιὰς ἀγροτέροιο, καὶ ἐκ ταμίσοιο λαγωοῦ
τετράμορον δραχμῆισι δύω καταβάλλεο βρῖθος.
ἔνθεν ἀποτμήγων πιέειν δραχμαῖον ἐν οἴνηι.
καὶ τάδε μέν τ' ὀφίεσσιν ἀλεξητήρια δήεις.
ἔργα δέ τοι σίνταο περιφράζοιο φάλαγγος
σήματά τ' ἐν βρυχμοῖσιν· ἐπεί ῥ' ὁ μὲν αἰθαλόεις ῥὼξ
κέκληται, πισσῆεν, ἐπασσυτέροις ποσὶν ἕρπον·
γαστέρι δ' ἐν μεσάτηι ὀλοοῖς ἔσκληκεν ὀδοῦσι.
τοῦ δὲ καὶ ἐγχρίμψαντος ἀνουτήτωι ἴκελος χρὼς
μίμνει ὅμως, τὰ δ' ὕπερθε φάη ὑποφοινίσσονται·
φρίκη δ' ἐν ῥέθεϊ σκηρίπτεται· αὐτίκα δὲ χρὼς
μεζεά τ' ἀνδρὸς ἔνερθε τιταίνεται, ἐν δέ τε καυλὸς
φύρματι μυδαλέος προϊάπτεται· ἰσχία δ' αὔτως
μάλκη ἐνισκίμπτουσα κατήριπεν ἔχμα τε γούνων.
ἀστέριον δέ φιν ἄλλο πιφαύσκεο, τεῦ τ' ἐπὶ νώτωι
λεγνωταὶ στίλβουσι διαυγέες ἐν χροῒ ῥάβδοι·
L1[O] βρύξαντος δ' αἴδηλον ἐπέδραμεν ἀνέρι φρίκη·
𝔹 ἐν δὲ κάρος κεφαλῆι, γούνων δ' ὑποέκλασε δεσμά.
κυάνεον δέ τοι ἄλλο πεδήορον ἀμφὶς ἀΐσσει
λαχνῆεν· δεινὸν δὲ φέρει καὶ ἐπὶ χροῒ νύχμα,
ὅντινα γυιώσει· κραδίηι δέ οἱ ἐν βάρος ἵζει·
νὺξ δὲ περὶ κροτάφοις· ἔμετον δ' ἐξήρυγε δειρῆς
λοιγὸν, ἀραχνήεντα· νέμει δέ οἱ ἐγγὺς ὄλεθρον. 5 (4C)
ἀγρώστης γε μὲν ἄλλος, ὃ δὴ λύκου εἴσατο μορφῆι
μυιάων ὀλετῆρος· ὀπιπτεύει δὲ μελίσσας,
ψῆνας, μύωπάς τε καὶ ὅσσ' ἐπὶ δεσμὸν ἵκηται,
ἀκμηων δ' ἐπὶ τύμμα φέρει μεταμώνιον ἀνδρί.
ἄλλο γε μὴν δύσδηρι, τὸ δὴ σφήκειον ἔπουσι,
πυρσὸν ἅλις, σφηκὶ προσαλίγκιον ὠμοβορῆι,
ὃς σὴ θαρσαλέην γενεὴν ἐκμάσσεται ἵππου· 5
ἵπποι γὰρ σφηκῶν γένεσις, ταύρων δὲ μέλισσαι
σκήνεσι πυθομένοισι λυκοσπάδες ἐξεγένοντο.
τοῦ δὲ καὶ οὐτήσαντος ἐπὶ κρατερὸν θέει οἶδος,
νοῦσοι τ' ἐξέτεραι, μετὰ γούνασι δ' ἄλλοτε παλμὸς,
ἄλλοτε δ' ἀδρανίη· μινύθοντα δὲ τόνδε δαμάζει
ἐσχάτιον κακοεργὸς ἄγων παυστήριον ὕπνος.
εἰ δ' ἄγε μυρμήκειον, ὃ δὴ μύρμηξιν ἔϊκται,
δειρῆι μὲν πυρόειν, ἄζηι γε μὲν εἴσατο μορφὴν,
πάντοθε δ' ἀστερόεντι περιστιγὲς εὐρέι νώτωι·
αἰθαλέη δ' ἐπὶ τυτθὸν ἀείρεται αὐχένι κόρσῃ·
ἄλγεα δὲ προτέροισιν ἴσα κνώπεσσι πελάζει. 17

οὐλοὸν ἐλλιτάνευε κακῆι ἐπαλαλκέμεν ἄτηι
σαίνων· αὐτάρ ὁ βρῖθος, ὃ δή ῥ' ἀνεδέξατο νώτοις, Nicander
ἤιτεεν ἄφρονα δῶρον· ὁ δ' οὐκ ἀπανήνατο χρειοῖ. Theriaca
ἐξότε γηραλέον μὲν ἀεὶ φλόον ἑρπετὰ βάλλει
ὁλκήρη, θνητοὺς δὲ κακὸν περὶ γῆρας ὀπάζει·
νοῦσον δ' ἀζαλεην βρωμήτορος οὐλομένη θὴρ
δέξατο, καί τε τυπῃσιν ἀμυδροτέρῃσιν ἰάπτει.
νῦν δ' ἄγε χερσύδροιο καὶ ἀσπίδος εἴρεο μορφὰς
ἰσαίας· πληγῇ δὲ κακήθεα σήμαθ' ὁμαρτεῖ·
πᾶσα γὰρ ὑδαλεὴ ῥινὸς περὶ σάρκα μυσαχθὴς
νειόθι πιτναμένη μυδόεν τεκμήρατο νύχμα,
σηπεδόσι φλιδόωσα· τὰ δ' ἄλγεα φῶτα δαμάζει
μυρία πυρπολέοντα· θοαὶ δ' ἐπὶ γυῖα χέονται
πρηδόνες, ἄλλοθεν ἄλλαι ἐπημοιβοὶ κλονέουσαι.
ὃς δ' ἤτοι τὸ πρὶν μὲν ὑπὸ βροχθώδεϊ λίμνηι
ἄσπειστον βατραχοισι φέρει κότον· ἀλλ' ὅταν ὕδωρ
σείριος αὐήνηισι, τρύγη δ' ἐν πυθμένι λίμνης,
καὶ τόθ' ὅ γ' ἐν χέρσωι τελέθει ψαφαρός τε καὶ ἄχρους,
θάλπων ἠελίωι βλοσυρὸν δέμας· ἐν δὲ κελεύθοις
γλώσσηι ποιφύγδην νέμεται διψήρεας ὄγμους.
τὸν δὲ μετ' ἀμφίσβαιναν ὀλίζωνα βραδύθουσαν
δήεις ἀμφικάρηνον, ἀεὶ γλήνῃσιν ἀμυδρήν·
ἀμβλὺ γὰρ ἀμφοτέρωθεν ἐπιπρονένευκε γένειον
νόσφιν ἀπ' ἀλλήλων· χροιὴ γε μὲν ἠΰτε γαίης,
ῥωγαλέον φορέουσα περιστιβὲς αἰόλον ἔρφος.
τὴν μὲν, ὅθ' ἁδρύνηται, ὁροιτύποι οἷα βατῆρα L1[O]
κόψαντες ῥάδικα πολυστεφέος κοτίνοιο 𝔹
δέρματος ἐσκύλευσαν, ὅτε πρώτιστα πέφανται,
πρόσθε βοῆς κόκκυγος ἐαρτέρου· ἣ δ' ὀνίνησι
ῥινῶι δυσπαθέοντας, ὅτ' ἐν παλάμῃσιν ἀεργοῖς
μάλκαι ἐπιπροθέωσιν ὑπὸ κρυμοῖο δαμέντων,
ἠδ' ὁπόταν νεύρων ξανάαι κεχαλασμένα δεσμά.
δήεις καὶ σκυτάλην ἐναλίγκιον ἀμφισβαίνῃ
εἶδος, ἀτὰρ πάχετόν τε καὶ οὐτιδανήν ἐπὶ σειρὴν
μάσσον', ἐπεὶ σκυτάλης μὲν ὅσον σμινύοιο τέτυκται
στειλειὸν πάχετος, τῆς δ' ἕλμινθος πέλει ὄλκος,
ἠὲ καὶ ἔντερα γῆς οἷα τρέφει ὄμβριμος αἶα.
οὐδ' ἄρ', ὅταν χαράδρεια λίπῃ καὶ ῥωγάδα πέτρην
ἦρος ἀεξομένου ὁπόσ' ἑρπετὰ γαῖα φαείνει,
ἀκρεμόνος μαράθοιο χυτὸν περιβόσκεται ἔρνος,
εὖτ' ἂν ὑπ' ἠελίοιο περὶ φλόον ἄψεα βάλλῃ,
ἀλλ' ἤγ' ἀρπέζεις τε καὶ ἐν νεμέεσσι πεσοῦσα
φωλεύει βαθύυπνος, ἀπ' εἰκαίης δὲ βοτεῖται
γαίης, οὐδ' ἀπὸ δίψος ἀλέξεται ἱεμένη περ.
τεκμαίρευ δ' ὀλίγον μὲν, ἀτὰρ προφερέστατον ἄλλων
ἑρπηστῶν βασιλῆα· τὸ μὲν δέμας ὀξυκάρηνος,
ξανθὸς, ἐπὶ τρία δῶρα φέρων μῆκός τε καὶ ἰθύν.
οὐκ ἄρα δὴ κείνου σπειραχθέα κνώδαλα γαίης
ἰυγὴν μίμνουσαν, ὅτ' ἐς νομὸν ἠὲ καί ὕλην
ἠὲ καὶ ἀρδηθμοῖο μεσημβρινὸν ἀΐξαντες

μείρονται, φύζηι δὲ παλιντροπέες φορέονται. 6 (9C)
Τύμματι δ' ἐπρήσθη φωτὸς δέμας, αἱ δ' ἀπὸ γυίων
σάρκες ἀπορρείουσι πελιδναί τε ζοφεραί τε·
οὐδέ τις οὐδ' οἰωνὸς ὑπὲρ νέκυν ἴχνια τείνας,
αἰγυπιοὶ, γῦπές τε, κόραξ τ' ὀμβρήρεα κρώζων,
οὐδὲ μὲν ὅσσα τε φῦλ' ὀνομάζεται οὔρεσι θηρῶν,
◆ δαίνυνται· τοῖον περ ἀυτμένα δεινὸν ἐφίει.
εἰ δ' ὀλοὴ βούβρωστίς ἀιδρείῃφι πελάσσηι,
αὐτοῦ οἱ θάνατός τε καὶ ὠκέα μοῖρα τέτυκται.
κῆρα δέ τοι δρυΐναο πιφαύσκεο, τόν τε χέλυδρον
ἐξέτεροι καλέουσιν· ὁ δ' ἐν δρυσὶν οἰκία τεύξας
ἢ ὅ γε που φηγοῖσιν ὀρεσκεύει περὶ βήσσας.
Ὕδρον μιν καλέουσι, μετεξέτερεοι δὲ χέλυδρον,
ἔστε βρύα προλιπὼν καὶ ἕλος καὶ ὁμήθεα λίμνην
ἀγρώσσων λειμῶσι μολουρίδας ἢ βατραχῖδας
σπέρχεται ἐκ μύωπος ἀήθεα δέγμενος ὁρμήν,
ἔνθα κατὰ πρέμνον κοίλης ὑπεδύσατο φηγοῦ
ὀξὺς ἀλεὶς, κοῖτον δὲ βαθεῖ ἐνεδείματο θάμνωι.
Αἰθαλόεις μὲν νῶτα, κάρη γε μὲν ἁρπεδὲς αὔτως
ὕδρωι εἴσκόμενον· τὸ δ' ἀπὸ χροὸς ἐχθρὸν ἄηται,
οἷον ὅτε πλαδόωντα περὶ σκύλα και δέρε' ἵππων
γναμπτόμενοι μυδόωσιν ὑπ' ἀρβήλοισι λάθαργοι.
ἤτοι ὅταν κώληπας ἢ ἐν ποδὸς ἴχνεϊ τύψηι,
χρωτὸς ἄπο πνιγόεσσα κεδαιομένη φέρετ' ὀδμή.
τοῦ δ' ἤτοι περὶ τύμμα μέλαν κορθύεται οἶδος·
L1[I] ἐν δὲ νόον πεδόωσιν ἀλυσθαίνοντος ἀνῖαι
𝔹 ἐχθόμεναι· χροιὴ δὲ μόγωι αὐαίνεται ἀνδρός.
ῥινοὸ δὲ πλαδόωσιν ἐπὶ χροΐ, τοῖα μιν ἰὸς
ὀξὺς ἀεὶ νεμέθων ἐπιβόσκεται· ἀμφὶ καὶ ἀχλὺς
ὄσσε κατακρύπτουσα κακοσταθέοντα δαμάζει·
οἵ δέ τε μηκάζουσι, περιπνιγέες τε πέλονται·
οὖρα δ' ἀπέστυπται· τοτὲ δ' ἔμπαλιν ὑπνώοντες 6 (5C)
ῥέγκουσιν, λυγμοῖσι βαρυνόμενοι θαμέεσσιν,
ἢ ἀπερευγόμενοι ἔμετον χολοειδέα δειρῆς,
ἄλλοτε δ' αἱματόεντα· κακὴ δ' ἐπιδίωιος ἄτη
ἐσχατιῆι μογέουσι τρόμον κατεχεύατο γυίοις.
φράζεο δὲ χλοάοντα δαεὶς κύανόν τε δράκοντα,
ὅν ποτε Παιήων λασίηι ἐνεθρέψατο φηγῶι
Πηλίωι ἐν νιφόεντι Πελεθρόνιον κατὰ βῆσσαν. 6
ἤτοι ὅ γ' ἄγλαυρος μὲν ἐείδεται, ἐν δὲ γενείωι
τρίστοιχοι ἑκάτερθε περιστιχόωσιν ὀδόντες·
πιόνα δ' ἐν σκυνίοισιν ὑπ' ὄθματα· νέρθε δὲ πώγων
αἰὲν δ' ἀνθερεῶνι χολοίβαφος. οὐ μὲν ὅ σ' αὔτως
ἐγχρίμψας ἤλγυνε, καὶ ἣν ἔκπαγλα χαλεφθῆι·
βληχρὸν γὰρ μυὸς οἷ' ἀμυληβόρου ἐν χροΐ νύχμα
εἴδεται αἱμαχθέντος ὑπὸ κραντῆρος ἀραιοῦ.
τῶι μέν τ' ἔκπαγλον κοτέων βασιλήιος ὄρνις
αἰετὸς ἐκ παλαχῆς ἐπαέξεται, ἀντία δ' ἐχθρὴν
δῆριν ἄγει γενύεσσιν, ὅταν βλώσκοντα καθ' ὕλην
δέρκηται· πάσας γὰρ ὄγ' ἠρήμωσε καλιὰς,

καὶ τὰ μὲν ὀργάζοιο, καὶ ἐιν ἐνὶ τεύχεϊ μίξας
ἄλλοτε μέν τ' ἐχίων ὀλοὸν σίνος, ἄλλοτε τύμμα
σκορπιοέν, τοτὲ δάχματ' ἐπαλθήσαιο φάλαγγος,
τριπλόον ἐνθρύπτων ὀδελοῦ βάρος ἔνδοθεν οἴνης.
φράζεο δ' αἰγλήεντα χαμαιλεον ἠδὲ καὶ ὄρφνόν
δοιοὶ δ' ἀμφὶς ἔασιν· ὁ μὲν ζοφοείδελος ὠπὴν
ἤικται σκολύμωι, τροχεήν δ' ἀπεχεύατο χαίτην·
ῥίζα δέ οἱ βριαρή τε καὶ αἴθαλος, ἠδ' ὑπὸ κνημοῖς
σκαιοῖς ἐντελέθει φυξήλιος ἢ νεμέεσσι.
τὸν δ' ἕτερον δήεις αἰεὶ πετάλοισιν ἀγαυρόν·
μέσση δ' ἐν κεφαλὴ δύεται πεδόεσσα, μολοβρή·
ῥίζα δ' ὑπαργήεσσα, μελίζωρος δὲ πάσασθαι.
τῶν δὴ κυανέην μὲν ἀναίνεο, τῆς δ' ἀπὸ φάρσος
δραχμαῖον παταμοῖο πιεῖν ὑδάτεσσι ταράξας.
ἄλλην δ' Ἀλκιβίοιο φερώνυμον ἀγρέο ποίην,
δράχμα χερὸς πλήσας, παύρωι δ' ἐν νέκταρι πίνειν.
τὴν μὲν ὑπὸ σκοπέλοισι Φαλακραίοις ἴδ' ἐπακτὴρ
Κρύμνης ἀμπεδίον καὶ ἀνὰ Γράσον, ἠδ' ἵνα θ' ἵππου
λειμῶνες σκυλάκεσσιν Ἀμυκλαίηοισι κελεύων
κνυζηθμὸν κυνὸς οὖλον ἐπήισε θυμολέοντος,
ὅς τε μεταλλεύων αἰγός ῥόθον ἐν στίβωι ὕλης
κανθῶι ἐνὶ ῥαντῆρι τυπὴν ἀνεδέξατ' ἐχίδνης·
καὶ τὴν μὲν κλάγξας ἀφ' ἑκὰς βάλε, ῥεῖα δὲ ποίης
φύλλα κατέβρυξεν, καὶ ἀλεύατο φοινὸν ὄλεθρον.
ἆσαι δ' ἔγχλοα φλοιὸν ἐλαιήεντα κρότωνος
συμμίγδην πετάλοισι μελισσοφύτοιο δασείης, L1[I]
ἠὲ καὶ ἠελίοιο τροπαῖς ἰσώνυμον ἕρνος, 𝔹
ἤ θ' Ὑπεριονίδαο παλινστρέπτοιο κελεύθους
τεκμαίρει γλαυκοῖσιν ἶσον πετάλοισιν ἐλαίης.
αὔτως δὲ ῥίζαν κοτυληδόνος, ἥ τ' ἀνά κρυμὸν
ῥηγνυμένων ὀλοφυδνὰ διήφυσε ποσσὶ χίμετλα.
δήποτε δ' ἢ βλωθροῖο πυρίτιδος ἔγχλοα φύλλα,
ἢ σκολοπενδρείοιο φέρειν ἀπὸ καυλὸν ἀμήσας.
ἄγρει καὶ πάνακες Φλεγυήιον, ὄρρα τε πρῶτος
Παιήων Μέλανος ποταμοῦ παρὰ χεῖλος ἄμερξεν,
Ἀμφιτρυωνιάδαο θέρων Ἰφικλέος ἕλκος,
εὖτε σὺν Ἡρακλῆι κακὴν ἐπυράκτεεν ὕδρην.
εἰ δὲ σύ γε σκύλακας γαλέης ἢ μητέρα λαιδρὴν
ἀγρεύσαις πρόσπαιον, ἀποσκύλαιο δὲ λάχνην
καρχαλέυν καθύπερθε πυρὸς σελάοντος ἀυτμῆι,
τῆς δ' ἐξ ἔγκατα πάντα βαλών καὶ ἀφόρδια γαστρὸς
φύρσον ἁλὸς δίοιο, καὶ ἠελίου δίχα τέρσαι,
μή τοι ἐνισκήληισ νεαρὸν σκίναρ ὠκὺς ἀΐξας.
ἀλλ' ὁπόταν χρειώ σε κατεμπάζηι μογέοντα,
σῶχε διὰ κνήστι σκελετὸν ῥάκος οἷά τ' ἀφαυρὸν
σίλφιον ἢ στροφάλιγγα περιξήροιο γάλακτος
οἴνωι ἐπικνήθων· τὸ δέ τοι προφερέστατον ἄλλων
ἐσσεῖται· πάσας γὰρ ὁμῶς ἀπὸ κῆρας ἐρύξει.
πεύθεο δ' εἰναλίης χέλυος κρατέουσαν ἀρωγὴν
δάχματος εἶαρ ἔμεν δολιχῶν ὅσα φῶτας ἀνιγρούς

στήσας ἠὲ χύδην τε καὶ ἄστατον ἀμφικυκήσας·
πῖνε δὲ μιξάμενος κυάθωι τρὶς ἀφύξιμον οἴνην.
νάρδου δ' εὐστάχυως δραχμήιον ἄχθος ἑλέσθαι,
σὺν δὲ καὶ ὀκταπόδην ποταμοῦ ἀποσυληθέντα
καρκίνον ἐνθρύψαιο νεοβδάλτοιο γάλακτος,
ἶρίν θ', ἥν ἔθρεψε Δρίλων καὶ Νάρονος ὄχθαι,
◆ Σιδονιόυ Κάδμοιο θεμείλιον Ἁρμονιής τε·
ἔνθα δύω δασπλῆτε νομὸν στείβουσι δράκοντες.
λάζεο δ' ἀνθεμόεσσαν ἄφαρ τανύφυλλον ἐρείκην,
ἥν τε μελισσαῖος περιβόσκεται οὐλαμός ἕρπων·
καὶ μυρίκης λάζοιο νέον πανακαρπέα θάμνον,
μάντιν ἐν αἰζηοῖσι γεράσμιον· ἧι ἐν Ἀπόλλων
μαντοσύνας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν·
μὶξ δὲ κυνυζῆεν φυτὸν ἔγχλοον, ἠδὲ καὶ ἀκτῆς
καυλοὺς ἠνεμόεντας, ἰδὲ πτίλα πολλὰ καὶ ἄνθη
σαμψούχου, κύτισόν τε καὶ εὐγλαγέας τιθυμάλλους·
πάντα δὲ λίγδωι θρύπτε, καὶ ἐν σκαφίδεσσι δοχαίαις
φαρμάσσων μέθυ κεῖνο χοὸς δεκάτηι ἐνὶ μοίρηι.
ἀλλ' ἤτοι γερύνων καναχοὶ περίαλλα τοκῆες
βάτραχοι ἐν χύτρηισι καθεψηθέντες ἄριστοι
βάμματι· πολλάκι δ' ἧπαρ ἐνὶ σχεδίηι ποθὲν οἴνηι,
ἢ αὐτοῦ σίνταο κάρη κακὸν ἄλλοτε νύμφαις
ἐμπισθὲν, τοτὲ δ' οἴνου ἐνὶ σταγόνεσσιν ἀρήξει.
μὴ σύ γ' ἑλιχρύσοιο λιπεῖν πολυδευκέος ἄνθην,
κόρκορον ἢ μύωπα, πηνάκτειόν τε κονίλην,
L2[O] ἥν τε καὶ Ἡράκλειον ὀρίγανον ἀμφὶς ἔπουσι·
𝔹 σὺν καὶ ὄνου πετάλειον ὀριγάνου, αὖα τε θύμβρης
στρομβεῖα ψώχοιο, κακῆς ἐμφόρβια νούσου.
ἄγρει μὰν ὀλίγαις μηκωνίσι ῥάμνον ἐΐσην
ἑρσομένην, ἀργῆτι δ' ἀεὶ περιδέδρομεν ἄνθη·
τὴν ἤτοι φιλεταιριδ' ἐπίκλησιν καλέουσιν
ἀνέρες, οἳ Τμώλοιο παραὶ Γύγαό τε σῆμα
Παρθένιον ναίουσι λέπας, τόθι Κίλβιν ἀεργοὶ
ἵπποι χιλεύουσι καὶ ἀντολαί εἰσι Καΰστρου.
νῦν δ' ἄγε τοι ῥίζας ἐρέω ἐχιέσσιν ἀρωγούς.
ἔνθα δύω ἐχίεια πιφαύσκεο· τῆς δὲ τὸ μέν που
ἀγχούσηι προσέοικεν ἀκανθῆεν πετάλειον·
παῦρον ἐπεὶ, τυτθόν δὲ καὶ ἐν χθονὶ πυθμένα τείνει,
ἡ δ' ἑτέρη πετάλοισι καὶ ἐν καυλοῖσι θάλεια,
ὑψηλή· ὀλίγωι δὲ πέριξ καλχαίνεται ἄνθει·
βλάστη δ' ὡς ἔχιος, σφεδανὸν δ' ἐφύπερθε, κάρηαρ.
τῶν μὲν ἀπ' ἀνδρακάδα προταμὼν ἰσήρεα χραισμεῖν
ἢ σφέλαι ἢ ὅλμωι κεάσας ἢ ῥωγάδι πέτρηι.
καί τε σύ γ' ἠρύγγοιο καὶ ἀνθήεντος ἀκάνθου
ῥίζεα λειήναιο, φέροις δ' ἰσορρεπὲς ἄχθος
ἀμφοῖιν κλόθοντος ἐν ἀρπέεζησιν ἐρίνου·
λάζεο δ' εὐκνήμοιο κόμην βρίθουσαν ὀρείου
καὶ σπέραδος Νεμεαῖον ἀειφύλλοιο σελίνου·
σὺν δὲ καὶ ἀννήσοιο τὸ διπλόον ἄχθος ἀείραι
ῥίζαις ὁλκήεσσαν ὑπὸ πλάστιγγα πεσοῦσαν·

7 (10C)

αὔτως ὀρνίθων τε τόκον κτίλα τ' ὤεα βρύκων·
αὐτὰρ ὃ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωὸν
ῥεῖα δράκων ἤμερσε νέον μάρψαντος ὄνυξι,
θάμνου ὑπαΐξας· ὁ δ' ἀλεύεται· ἀμφὶ δὲ δαιτὸς
μάρνανθ'· ἰπτάμενον δὲ πέριξ ἀτέλεστα διώκει
σπειρηθεὶς καὶ λοξὸν ὑποδρὰξ ὄμμασι λεύσσων.
εἴ γε μὲν Ἡφαίστοιο χαλαίποδος ἐν πτυχὶ νήσου
βήσεαι ἠὲ Σάμων δυσχείμερον, αἵ τ' ἐνὶ κόλπωι
Θρηϊκίωι βέβληνται ἑκὰς, Ῥησκυνθίδος Ἥρης
Ἕβρος ἵνα, Ζωναῖα τ' ὄρη χιόνεσσι φάληρα
καὶ δρύες Οἰαγρίδαο, τόθι Ζηρύνθιον ἄντρον,
δήεις κεγχρίνεω δολιχὸν τέρας, ὅν τε λέοντα
αἰόλον αὐδάξαντο, περίστικτον φολίδεσσι·
τοῦ πάχετος μῆκος τε πολύστροφον· αἶψα δὲ σαρκὶ
πυθεδόνας κατέχευε δυσαλθέας· αἳ δ' ἐπὶ γυίοις
ἰοβόροι βόσκονται· ἀεὶ δ' ὑπὸ νηδύσιν ὕδρωψ
ἄλγεσιν ἐμβαρύθουσα κατὰ μέσον ὀμφαλον ἵζει.
ἤτοι ὅτ' ἠελίοιο θερειτάτη ἵσταται ἀκτὶς,
οὔρεα μαιμώσσων ἐπινίσσεται ὀκριόεντα,
αἵματος ἰσχανόων, καὶ ἐπὶ κτίλα μῆλα δοκεύων,
ἢ Σάου ἠὲ Μοσύχλου ὅτ' ἀμφ' ἐλάτηισι μακεδναῖς
ἄγραυλοι ψύχωσι, λελοιπότες ἔργα νομήμων·
μὴ σύ γε θαρσαλέος περ ἐών θέλε βήμεναι ἄντην
μαινομένου, μὴ δή σε καταπλέξηι καὶ ἀνάγχηι
πάντοθι μαστίζων οὐρῆι δέμας, ἐν δὲ καὶ αἷμα
ληιφάξηι, κληῖδας ἀναρρήξας ἑκάτερθεν. L2[O]
φεῦγε δ' ἀεὶ σκολιήν τε καὶ οὐ μίαν ἀτραπὸν ἴλλων, 𝔹
δοχμὸς ἀνακρούων θηρὸς πατον· ἦ γὰρ ὃ δεσμοὺς
βλάπτεται ἐν καμπῆισι πολυστρέπτοισιν ἀκάνθης,
ἰθεῖαν δ' ὤκιστος ἐπιδρομάδην στίβον ἕρπει.
τοῖος Θρηικίηισιν ὄφις νήσοισι πολάζει.
7 (6C) ἔνθα καὶ οὐτιδανοῦ περ ἀπεχθέα βρύγματ' ἔασιν
ἀσκαλάβου· τὸν μέν τ' ἐρέει φάτις, οὕνεκ' Ἀχαιή
Δημήτηρ ἔβλαψεν, ὅθ' ἄψεα σίνατο παιδὸς
Καλλίχορον παρὰ φρεῖαρ, ὅτ' ἐν Κελεοῖο θεράπναις
ἀρχαίη Μετάνειρα θεήν δείδεκτο περίφρων.
ἄλλα γε μὴν ἄβλαπτα κινώπετα βόσκεται ὕλην,
δρυμοὺς καὶ λασιῶνας ἀμορβαίους τε χαράδρας,
7 οὓς ἔλοπας λίβυάς τε πολυστεφέας τε μυάγρους
φράζονται, σὺν δ' ὅσσοι ἀκοντίαι ἠδὲ μόλουροι.
ἢ ἔτι που τυφλῶπες ἀπήμαντοι φορέονται.
τῶν μὲν ἐγὼ θρόνα πάντα καὶ ἀλθεστήρια νούσων,
φύλλα τε ῥιζοτόμον τε διείσομαι ἀνδράσιν ὥρην,
πάντα διαμπερέως καὶ ἀπηλεγὲς, οἷσιν ἀρήγων
ἀλθήσηι νούσοιο κατασπέρχουσαν ἀνίην.
τὰς μὲν ἔτι βλύοντι φόνωι περιαλγέι ποίας
δρέψασθαι νεοκμῆτας (ὃ γὰρ προφερέστατον ἄλλων),
χώρωι ἵνα κνῶπες θαλερὴν βόσκονται ἀν' ὕλην
Πρώτην μὲν Χείρωνος ἐπαλθέα ῥίζαν ἑλέσθαι,
Κενταύρου Κρονίδαο φερώνυμον, ἥν ποτε Χείρων

Πηλίου ἐν νιφόεντι κιχὼν ἐφράσσατο δειρῇ·
τῆς μὲν ἀμαρακόεσσα χυτὴ περιδέδρομε χαίτη,
ἄνθεα δὲ χρύσεια φαείνεται· ἡ δ᾽ ὑπὲρ αἴης
ῥίζα καὶ οὐ βυθόωσα Πελεθρόνιον νάπος ἴσχει.
ἣν σὺ καὶ αὐαλέην, ὁτὲ δ᾽ ἔγχλοον ὅλμωι ἀράξας
φυρσάμενος κοτύληι πιέειν μενοεικέος οἴνης·
◆ παντὶ γὰρ ἄρκιός ἐστι· τό μιν πανάκειον ἔπουσιν.
ἤτοι ἀριστολόχεια παλίσκιος ἐνδατέοιτο,
φύλλ᾽ ἅτε κισσήεντα περικλυμένοιο φέρουσα·
ἄνθεα δ᾽ ὑσγίνωι ἐνερεύθεται· ἡ δέ οἱ ὀδμὴ
σκίδναται ἐμβαρύθουσα· μέσον δ᾽ ὡς ἀχράδα καρπὸν
μυρτάδος ἐξ ὄχνης ἐπιόψεαι ἢ σύ γε βάκχης·
ῥίζα δὲ θηλυτέρης μὲν ἐπιστρογγύλλεται ὄγκωι,
ἄρσενι δ᾽ αὖ δολιχή τε καὶ ἂμ πυγόνος βάθος ἴσχει,
πύξου δὲ χροιῇι προσαλίγκιος Ὠρικίοιο.
τὴν ἤτοι ἔχιός τε καὶ αἰνοπλῆγος ἐχίδνης
ἀγρεύσεις ὄφελος περιώσιον· ἔνθεν ἀπορρὼξ
δραχμαίη μίσγοιτο ποτῶι ἔνι κιρράδος οἴνης.
ναὶ μὴν καὶ τρίσφυλλον ὀπάζεο κνωψὶν ἀρωγὴν,
ἠέ που ἐν τρήχοντι πάγωι ἢ ἀποσφάγι βήσσηι,
τὴν ἤτοι μινυανθὲς, ὁ δὲ τριπέτηλον ἐνίσποι,
χαίτην μὲν λωτῶι, ῥυτῆι γε μὲν εἴκελον ὀδμήν.
ἤτοι ὅτ᾽ ἄνθεα πάντα καὶ ἐκ πτίλα ποικίλα χεύηι,
οἷόν τ᾽ ἀσφάλτου ἀπερεύγεται· ἔνθα κολούσας
σπέρμαθ᾽ ὅσον κύμβοιο τραπεζήεντος ἑλέσθαι
L2[I] καρδόπωι ἐντρίψας, πιέειν δ᾽ ὀφίεσσιν ἀρωγήν.
𝔹 νῦν δ᾽ ἄγε τοι ἐπίμικτα νόσων ἀλκτήρια λέξω.
Θρινακίην μὲν ῥίζαν ἕλευ γυιαλθέα θάψου
σμώξας, ἐν δὲ σπέρμα χυτὸν λευκανθέος ἄγνου,
νῆριν, πηγάνιόν τε περιβρυὲς, ἐν δέ τε θύμβρης
δρεψάμενος βλαστὸν χαμαιευνλαδος, ἥ τε καθ᾽ ὕλην
οἴας θ᾽ ἑρπύλλοιο περὶ ῥάδικας ἀέξει.
ἄγρει δ᾽ ἀσφυδέλοιο διανθέος ἄλλοτε ῥίζαν,
ἄλλοτε καὶ καυλεῖον ὑπέρτερον ἀνθερίκοιο.
πολλάκι δ᾽ ἐν καὶ σπέρμα, τό τε λοβὺς ἀμφὶς ἀέξει·
ἠὲ καὶ ἑλξίνην, τήν τε κλύβατιν καλέουσιν,
ὕδασι τερπομένην καὶ ἀεὶ θάλλουσαν ἰάμνοις·
πῖνε δ᾽ ἐνιτρίψας κοτυλήρυτον ὄξος ἀφύσσων
ἢ οἴνης· ῥέα δ᾽ αὖτε καὶ ὕδατι κῆρας ἀλύξεις.
ἐσθλὴν δ᾽ Ἀλκιβίου ἔχιος περιφράζεο ῥίζαν,
τῆς καὶ ἀκανθοβόλυς μὲν ἀεὶ περιτέτροφε χαίτη,
λείρια δ᾽ ὡς ἴα τοῖα περιτρέφει· ἡ δὲ βαθεῖα
καὶ ῥαδινὴ ὑπένερθεν ἀέξεται οὔδεϊ ῥίζα.
τὸν μὲν ἔχις βουβῶνος ὑπὲρ νεάτοιο χαράξας
ἄντλωι ἐνυπνώοντα χυτῆς παρὰ τέλσον ἅλωος
εἶθαρ ἀνέπνευσεν καμάτου βίηι· αὐτὰρ ὁ γαίης
ῥίζαν ἐρυσσάμενος τὸ μὲν ἕρκεϊ θρύψεν ὀδόντων
θηλάζων, τὸ δὲ πέσκος ἑῶι περὶ κάββαλεν ἕλκει.
ἦ μὴν καὶ πρασίοιο χλοανθέος ἔρνος ὀλόψας
χραισμήσεις ὀφίεσσι πιὼν ἀργῆτι μετ᾽ οἴνωι,

8 (11C)

ἥ τε καὶ ἀστόργοιο κατείρυσεν οὔθατα μόσχου
πρωτογόνου, στέργει δὲ περισφαραγεῦσα γάλακτι·
τὴν ἤτοι μελίφυλλον ἐπικλείουσι βοτῆρες,
οἱ δὲ μελίκταιναν· τῆς γὰρ περὶ φύλλα μέλισσαι
ὀδμῇ θελγόμεναι μέλιτος ῥοιζηδὸν ἴενται.
ἠὲ σύ γ᾽ ἐγκεφάλοιο περὶ σμήνιγγας ἀραιὰς
ὄρνιθος λέψαιο κατοικάδος· ἄλλοτ᾽ ὀμορξαις
ψηχρὰ πολύκνημον καὶ ὀρίγανον, ἢ ἀπὸ κάπρου
ἤπατος ἀκρότατον κέρσαι λοβὸν, ὅς τε τραπέζης
ἐκφύεται, νεύει δὲ χολῆς σχεδὸν ἠδὲ πυλάων·
καὶ τὰ μὲν ἂρ σύμμικτα πιεῖν ἢ ἀπ᾽ ἄνδιχα κόψας
ὄξεος ἢ οἴνης· πλεῖον δ᾽ ἄκος ἕψεται οἴνη.
ἐν δὲ φόβην ἐρύσασθαι ἀειθαλέος κυπαρίσσου
ἐς ποτὸν, ἢ πάνακες, ἢ κάστορος οὐλοὸν ὄρχιν
ἢ ἵππου, τὸν Νεῖλος ὑπὲρ Σάιν αἰθαλόεσσαν
βόσκει, ἀρούρῃσιν δὲ κακὴν ἐπιβάλλεται ἅρπην·
ὅς τε καὸ ἐκ ποταμοῖο λιπὼν ζάλον ἰλυόεντα,
χιλοὶ ὅτε χλοάουσι, νέον δ᾽ ἀπεχεύατο ποιή,
τόσσον ἐπιστείβων λείπει βυθόν, ὁσσάτιόν περ
ἐπινέμεται γενύεσσι παλίσσυτον ὄγμον ἐλαύνων.
τοῦ μὲν ἀποπροταμών δραχμῆς βάρος ἰσοφαρίζειν,
ὕδατι δ᾽ ἐμπίσαιο, κύτει ἐναολλέα κόψας.
μηδὲ σύ γ᾽ ἀβροτόνου ἐπιλήθεο, μηδέ τι δάφνης
καρπὸν ἀραιοτέρης· μάλα δ᾽ ἂν καὶ ἀμάρακος εἴη
χραισμήεις πρασιῇ τε καὶ ἀνδήροισι χλοάζων·
ἐν δὲ τίθει τάμισον σκίνακος νεκροῖο λαγωοῦ L2[I]
ἢ προκὸς ἠὲ νεβροῖο πάροιθ᾽ ἀπὸ λύματα κόψας, 𝔹
ἢ ἐλάφου νηδὺν, τὸ μὲν ἂρ καλέουσιν ἐχῖνον,
ἄλλοι δ᾽ ἐγκατόεντα κεκρύφαλον· ὧν ἀπερύσσας
δραχμάων ὅσσον τε δύω καταβάλλεο μοίρας
τέτρασιν ἐν κυάθοις μέθυος πολιοῦ ἐπιμίξας.
8 (7C) μηδέ σέ γε χραίσμηι πολίου λάθοι ἠὲ κέδροιο,
ἄρκευθος, σφαῖραί τε θερειλεχέος πλατάνοιο,
σπέρματα βουπλεύρου τε καὶ Ἰδαίης κυπαρίσσου, {...}
ἠὲ καὶ ἐξ ἐλάφοιο ταμὼν πηρῖνα θοραίην·
πάντα γὰρ ἀλθήσει καὶ ἀθέσφατον ἐκ μόγου ὥσει.
τὴν δὲ μετ᾽ ἐξετέρην θανάτου φύξιν τε καὶ ἀλκὴν
φράζεο κουλυβάτειαν ἑλών· τροχαλῶι δ᾽ ἐνὶ λίγδωι
8 σώχειν, ἐν δέ τέ οἱ κοτύλην πτισάνοιο χέασθαι,
ἐν δὲ δύω κυάθεια παλαισταγέος οἴνοιο,
ἐν δὲ καὶ ἀργέσταο λίπευς ἰσόμοιρον ἐλαίου,
φύρσας δὲ πληγῇσι χολοιβόρον ἰὸν ἐρύξεις.
ἄγρει δ᾽ ἐξάμορον κοτύλης εὐώδεα πίσσαν,
καὶ χλοεροῦ νάρθηκος ἀπὸ μέσον ἦτρον ὀλόψας,
ἠὲ καὶ ἱππείου μαράθου πολυαυξέα ῥίζαν
κεδρίσιν ἐντρίψας, ἐλεοθρέπτου τε σελίνου
σπέρματα· μεστωθὲν δὲ χάδοι βάθος ὀξυβάφοιο.
ἔνθα καὶ ἱππείου προταμὼν σπερμεῖα σελίνου,
δραχμάων δὲ δύω σμύρνης ἐχεπευκέος ἄχθη,
ἐν δὲ θερειγενέος καρπὸν κεράσαιο κυμίνου

Nicander Alexipharm.

σκορπιόεντα χαδὼν ψαθυρῆς ἐκ ῥίζεα γαίης
αἰὲν κεντρήεντα πόη γε μὲν ὕψι τέθηλεν
οἵη περ μολόθουρος, ἔνισχνα δὲ καύλεα βάλλει.
καί τε σύ δραχμάων πισύρων βάρος αἴνυσο γαίης
Παρθενίης, τὴν Φυλλὶς ὑπὸ κνημοῖσιν ἀνῆκεν,
Ἰμβρασίδος γαίης χιονώδεος, ἥν τε κεράστης
ἀμνὸς Χησιαδεσσι νέον σημήνατο νύμφαις
Κερκέτεω νιφόεντος ὑπὸ σχοινώδεσιν ὄχθαις·
ἢ καὶ σειραίοιο πόσιν διπλήθεα τεύξαις·
σὺν δέ τε πηγανόεντας ἐνιθρύψειης ὀράμνους,
ὀργάζων λίπεϊ ῥοδέωι θρόνα, πολλάκι χραίνοις
ἰρινέωι, τό τε πολλὸν ἐπαλθέα νοῦσον ἔτευξεν.
ἣν γε μὲν οὐλόμενόν γε ποτὸν κορίοιο δυσαλθὲς
ἀφραδέως δεπάεσσιν ἀπεχθομένοισι πάσηται,
οἳ μέν τ᾽ ἀφροσύνηι ἐμπληγέες οἷά τε μᾶργοι
δήμια λαβάζουσι παραπλῆγές θ᾽ ἅτε Βάκχαι
ὀξὺ μέλος βοόωσιν ἀταρμύκτωι φρενὸς οἴστρωι.
τῶι μέν τ᾽ ἐξ ἑδανοῖο πόροις δέπας ἔμπλεον οἴνης,
Πράμνιον αὐτοκρηές, ὅπως ὑπετύψατο ληνοῦ·
ἢ νύμφαις τήξαιο βαλὼν ἁλὸς ἔμπλεα κύμβην·
πολλάκι δ᾽ ὀρταλίχων ἁπαλὴν ὠδῖνα κενώσας
ἀφρὸν ἐπεγκεράσαιο, θοοῦ δορπήια κέπφου.
τῶι γάρ δὴ ζωήν τε σαοῖ, καὶ πότμον ἐπισπεῖ
εὖτε δόλοις νήχοντη κακοφθόρα τέκν᾽ ἁλιήων
οἰωνὸν χραίνωσιν, ὃ δ᾽ ἐς χέρας ἔμπεσε παίδων
L1[O] θηρεύων ἄφροιο νέην κλῦδα λευκαίνουσαν.
ℂ καί τε σύ γ᾽ ἀγλεύκην βάψαις ἰόεντα θάλασσαν,
ἥν τε καὶ ἀτμεύειν ἀνέμοις πόρεν Ἐννοσίγαιος
σὺν πυρί. καὶ γὰρ δὴ τὸ πνοαῖς συνδάμναται ἐχθραῖς·
πῦρ μὲν ἀείζωον καὶ ἀχύνετον ἔτρεσεν ὕδωρ
ἀργέστας, καί ῥ᾽ ἣ μὲν ἀκοσμήεσσα, φιλοργὴς
δεσπόζει νηῶν τε καὶ ἐμφθορέων αἰζηῶν,
ὕλη δ᾽ ἐχθομένοιο πυρὸς κατὰ θεσμὸν ἀκούει
ναὶ μὴν ἀτμένιόν τε κεραιόμενον λίπος οἴνηι
ἢ χιόνι γλυκέος μίγδην πόσις ἄλγος ἐρύξει,
ἦμος ὑπὸ ζάγκλησι περιβρίθουσαν ὀπώρην
ῥυσαλεήν ἑδανοῖο καὶ ἐκ ψιθιής ἑλίνοιο
κείροντες θλίβωσιν, ὅτε ῥηιζηδᾶ μέλισσαι,
πεμφρηδών, σφῆκές τε καὶ ἐκ βέμβικες ὄρειαι
γλεῦκος ἅλις δαίνυνται ἐπὶ ῥαγέεσσι πεσοῦσαι,
πιοτέρην ὅτε βότρυν ἐσινάτο κηκὰς ἀλώπηξ.
καί τε σὺ κωνείου βλαβόεν τεκμαίρεο πῶμα·
κεῖνο ποτὸν δὴ γάρ τε καρήατι φοινὸν ἰάπτει
νύκτα φέρον σκοτόεσσαν· ἐδίνησεν δὲ καὶ ὄσσε,
ἴχνεσι δὲ σφαλεροί τε καὶ ἐμπλάζοντες ἀγυιαῖς
χερσὶν ἐφερπύζουσι· κακὸς δ᾽ ὑπὸ νειάτα πνιγμὸς
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον·
ἄκρα δέ τοι ψύχει, περὶ δὲ φλέβες ἔνδοθι γυίων
ῥωμαλέαι στέλλονται· ὃ δ᾽ ἠέρα παῦρον ἀτύζει
οἷα κατηβολέων, ψυχὴ δ᾽ Ἀιδωνέα λεύσσει.
τον μέν τ᾽ ἢ λίπεος κορέοις ἢ ἄμισγέος οἴνης,

Nicander Theriaca

9 χειροδρόποι δ᾽ ἵνα φῶτες ἄτερ δρεπάνοιο λέγονται
ὄσπρια χέδροπά τ᾽ ἄλλα μεσοχλόου ἐντὸς ἀρούρης,
ἔνθα δ᾽ ἐπασσύτερα φλογερῆι εἰλυμένα χροιῆι
εἴκελα κανθαρίδεσσι φαλάγγια τυτθὰ δίενται.
τοῦ μὲν ὅμως ἔμμοχθον ἀεὶ περὶ δάχμα χέονται
φλύκταιναι· κραδίη δὲ παραπλάζουσα μέμηνε·
γλῶσσα δ᾽ ἄτακτα λέληκε· παρέστραπται δὲ καὶ ὄσσε.
φράζεο δ᾽ Αἰγύπτοιο τά τε τρέφει οἰλοὸς αἶα
κνώδαλα, φαλλαίνηι ἐναλίγκια, τὴν περὶ λύχνους
ἀκρόνυχος δειπνητὸς ἐπήλασε παιφάσσουσαν·
στεγνὰ δέ οἱ πτερὰ πάντα καὶ ἔγχνοα, τοῖα κονίης
ἢ καὶ ἀπὸ σπληδοῖο φαείνεται ὅστις ἐπαύρηι.
τῶι ἴκελος Περσεῖος ὑποτρέφεται πετάλοισι·
τοῦ καὶ σμερδαλέον νεύει κάρη αἰὲν ὑποδρᾶξ
ἐσκληκός, νηδὺς δὲ βαρύνεται· αὐτὰρ ὃ κέντρον
αὐχένι τ᾽ ἀκροτάτωι κεφαλῆι τ᾽ ἐνεμάξατο φωτός·
ῥεῖα δέ κεν θανάτοιο καὶ αὐτίκα μοῖραν ἐφείη.
εἰ δ᾽ ἄγε καὶ κέντρωι κεκορυθμένον ἀλγινόεντι
σκορπίον αὐδήσω καὶ ἀεικέα τοῖο γενέθλην.
τῶν ἤτοι λευκὸς μὲν ἀκήριος οὐδ᾽ ἐπιλωβής.
πυρσὸς θ᾽ ἐν γενύεσσι θοὸν προσεμάξατο καῦσον
ἀνδράσιν αἰθαλόεντα· περισπαίρουσι δὲ λώβαις
οἷα πυρίβλητοι· κρατερὸν δ᾽ ἐπὶ δίψος ὄρωρεν.
αὐτὰρ ὅ γε ζοφόεις ἄραδον κακὸν ὤπασε τύψας
ἀνδρί· παραπλῆγες δὲ καὶ ἄφραστοι γελόωσιν.
ἄλλος δὲ χλοάων τε, καὶ ὁππότε γυῖον ἀράξηι, L1[O]
φρῖκας ἐπιπροΐησι· κακὴ δ᾽ ἐπὶ τοῖσι χάλαζα ℂ
εἴδεται ἐμπλάζουσα, καὶ ἢν μέγα σείριος ἄζηι·
τοίη οἱ κέντροιο κόπις, τοίωι δ᾽ ἐπὶ κέντρωι
σφόνδυλοι ἐννεάδεσμοι ὑπερτεινουσι κεραίης.
ἄλλος δ᾽ ἐμπέλιος — φορέει δ᾽ ὑπὸ βωσκάδα νηδὺν
9 εὐρεῖαν, δὴ γάρ τε ποηφάγος αἰὲν ἄητος,
γαιοφάγος — βουβῶσι τυπὴν ἀλίαστον ἰάπτει·
τοίη ω᾽ βυύρρωσης ιιιίσκληκιν γενύεσσι.
τὸν δ᾽ ἕτερον δήεις ἐναλιγκιον αἰγιαλῆι
καρκίνωι, ὃς μνία λεπτὰ ῥόθον τ᾽ ἐπιβόσκεται ἅλμης.
ἄλλοι δ᾽ αὖ ῥαιβοῖσιν ἰσήρεες ἄντα παγούροις
γυῖα βαρύνονται· βαρέαι δ᾽ ἐσκλήκασι χηλαί,
9 οἷα τε πετραίοισιν ἐποκριόωσι παγούροις·
τῶν δὴ καὶ γενεὴν ἐξέμμορον, εὖτε λίπωσι
πέτρας καὶ βρύα λεπτὰ πολυστίοιο θαλάσσης,
τοὺς ἁλὸς ἐξερύουσι δελαστρέες ἰχθυβολῆες·
αὐτίκα δ᾽ ἀγρευθεντες ἐνὶ γρώνησιν ἔδυσαν,
μυοδόκοις, ἵνα τέκνα κακοφθόρα τῶνδε θανόντων
σκορπίοι ἐξεγένοννο καθ᾽ ἕρκεα λωβητῆρες.
τὸν δὲ μελίχλωρον· τοῦ μὲν προμελαίνεται ἄκρη
σφόνδυλος, ἄσβεστον δὲ νέμει πολυκήριον ἄτην.
ἔχθιστος δ᾽, ὅ τε ῥαιβὰ φέρει φλογὶ εἴκελα γυῖα,
ἀνδράσι, νηπιάχοις δὲ παρασχεδὸν ἤγαγεν αἶσαν·
21 οἷς δὴ καὶ νώτοισι περὶ πτερὰ λευκὰ χέονται

μάστακι σιτοβόρωι ἐναλίγκια, τοί θ' ὑπὲρ ἄκρων
ἱπτάμενοι ἀθέρων λεπυρὸν στάχυν ἐκβόσκονται,
Πήδασα καὶ Κισσοῖο κατὰ πτύχας ἐμβατέοντες.
οἶδά γε μὴν φράσσασθαι ἀλέξια τοῖο βολάων,
οἷά περ ἐκ βέμβικος ὀρεστέρου ἠὲ μελίσσης,
ἧι τε καὶ ἐκ κέντρου θάνατος πέλει, εὖτε χαράξηι
ἄνδρα πέριξ σίμβλοιο, πονεύμενον ἠὲ καὶ ἀγροῖς·
κέντρον γὰρ πληγῆι περικάλλιπεν ἐμματέουσα,
κέντρον δὲ ζωήν τε φέρει θάνατόν τε μελίσσαις·
οἶδά γε μὴν καὶ ἴουλος ἃ μήδεται ἠδ' ὀλοὸς σφήξ,
πεμφρηδών ὀλίγη τε, καὶ ἀμφικαρὴς σκολόπενδρα,
ἥ τε καὶ ἀμφοτέρωθεν ὀπάζεται ἀνδράσι κῆρα,
νήϊά θ' ὡς σπέρχομται ὑπὸ πτερὰ θηρὶ κιούσηι·
τυφλήν τε σμιρδνήν τε βροτοῖς ἐπὶ λοιγὸν ἄγουσαν
μυγαλέην, τροχιῇσιν ἐνιθνήσκουσαν ἁμάξης.
Σῆπά γε μὴν πεδανοῖσιν ὁμὴν σαύροισιν ἀλύξαις,
καὶ σαλαμάνδρειον δόλιον δάκος αἴεν ἀπεχθὲς,
ἥ τε καὶ ἀσβέστοιο διὲκ πυρὸς οἶμον ἔχουσα
ἔσσυται ἄκμητος καὶ ἀνώδυνος· οὐδέ τί οἱ φλὸξ
σίνεται ἀσβέστη ῥαγόεν δέρος ἄκρα τε γυίων.
ναὶ μὴν οἶδ' ὅσα πόντος ἁλὸς ῥόχθοισιν ἑλίσσει,
σμυραίνης δ' ἔκπαγλον· ἐπεὶ μογεροὺς ἁλιῆας
πολλάκις ἐμπρήσασα κατεπρήνιξεν ἐπάκτρου
εἰς ἅλα φυζηθέντας ἐχετλίου ἐξανδῦσα,
εἰ ἔτυμον κείνην γε σύν οὐλοβόροις ἐχίεσσι
L1[I] θόρνυσθαι, προλιποῦσαν ἁλὸς νημόν, ἠπείροισι.
ℂ Τρυγόνα μὴν ὀλοεργὸν, ἁλιρραίστην τε δράκοντα
οἶδ' ἀπαλέξασθαι· φορέει γε μὲν ἄλγεα τρυγὼν,
ἦμος ἐν ὁλκαίοισι λίνοις μεμογηότα κέντρωι
ἐργοπόνον τύψῃσιν, ἢ ἐν πρέμνοισι παγείηι
δενδρείου, τό τε πολλὸν ἀγαυρότατον θαλέθῃσι·
τοῦ μὲν ὑπὸ πληγῇσιν ἅτ' ἠελίοισι δαμέντος
ῥίζαι, σὺν δέ τε φυλλὰς ἀποφθίνει· ἀνδρὶ δὲ σάρκες
πυθόμεναι μινύθουσι· λόγος γε μὲν, ὥς ποτ' Ὀδυσσεὺς
ἔφθιτο λευγαλέοιο τυπεὶς ἁλίου ὑπὸ κέντρου.
οἷσιν ἐγώ τὰ ἕκαστα διείσομαι ἄρκια νούσων.
δὴ γὰρ ὅτ' ἀγχούσης θριδακηίδα λάζεο χαίτην,
ἄλλοτε πενταπέτηλον, ὅτ' ἄνθεα φοινὰ βάτοιο,
ἄρκτιον, ὀξαλίδας τε, καὶ ὀρμενόεντα λυκαψὸν,
κίμακά τ', ὄρδειλόν τε περιβρυὲς, ἐν δὲ χαμηλὴν
ῥεῖα πίτυν, φηγοῦ τε βαθὺν περὶ φλοιὸν ἀράξας,
σὺν δ' ἄρα καυκαλίδας τε, καὶ ἐκ σταφυλίνου ἀμήσας
σπέρματα, καὶ τρεμίθοιο νέον πολυειδέα καρπόν·
ἢ ἔτι καὶ φοινίσσον ἁλὸς καταβάλλεο φῦκος,
ἀχραές τ' ἀδίαντον, ἵν' οὐκ ὄμβροιο ῥαγέντος
λεπταλέη πίπτουσα νοτὶς πετάλοισιν ἐφίζει.
Nicander εἰ δ' ἄγε καὶ σμυρνεῖον ἀειβρυὲς ἢ σύ γε ποιης
Theriaca λευκάδος ἠρύγγου τε τάμοις ἀθερηίδα ῥίζαν,
ἄμμιγα καχρυφόρωι λιβανωτίδι· μηδ' ἀπαρίνη,
μηδ' ἔτι κουλυβάτεια περιβρίθουσά τε μήκων

ἠὲ σύ κληματόεσσαν ἐν ὕδατι πλύνεο τέφρην
θαλπομένην, τὸ δὲ ῥύμμα νεοπλεκέος καλάθοιο
κόλποις ἰκμήνειας· ὃ γάρ τ' ἀναδέξεται ἰλύν.
καί τε κατηριφθέντα μετ' ἀργήεντος ἐλαίου
σκληρ' ἀπὸ περσειῆς κάρυα βλάβος οἷον ἐρύξει,
Περσεὺς ἥν ποτε ποσσὶ λιπὼν Κηφηίδα γαῖαν,
αὐχέν' ἀποτμήξας ἅρπηι γονόεντα Μεδούσης,
ῥεῖα Μυκηναίῃσιν ἐνηέξησεν ἀρούραις,
Κηφῆος νέα δῶρα, μύκης ὅθι κάππεσεν ἅρπης,
ἄκρον ὑπὸ πρηῶνα Μελανθίδος, ἔνθα τε νύμφη
Λαγγείης πόμα κεῖνο Διὸς τεκμήρατο παιδί.
πολλάκι δ' ἐνθρύψειας ἐν ὀπταλέῃσιν ἀκοσταῖς
Γερραίης λιβάνοιο χύσιν περιπηγέα θάμνοις·
καί τε σύ γ' ἢ καρύης ἄπο δάκρυον ἢ ἀταλύμνου
ἢ πτελέης, ὅ τε πολλὸν ἀεὶ καταλείβεται ὄσχαις,
κόμμινά τε χλιόωντι ποτῶι ἐπαρωγέα τήξαις,
ὄφρα τὰ μέν τ' ἐρύγῃσι, τά δ' ἑψητοῖσι δαμασθεὶς
ἀλθήσηι ὑδάτεσσιν, ὅτ' ἰκμήνηι δέμας ἱδρώς.
καί κεν ὅ γ' ἄλλοτε δόρπα δεδεγμένος, ἄλλοτε δ' οἴνης
πιοτέρης κορέοιτο, καὶ ἀκλέα πότμον ἀλύξαι.
μὴ μὲν, κανθαρίδος σιτηβόρου εὖτ' ἂν ὀδώδηι,
κεῖνο ποτὸν δέξαιτο, χυτῇι ἐναλίγκια πίσσηι·
πίσσης γὰρ ῥώθωσιν ἄγει βάρος, ἐν δὲ χαλινοῖς
οἷά τε δὴ καρφεῖα νέον βεβρωμένα κέδρου.
αἳ δ' ὁτὲ μὲν πλαδόωντι ποτῶι ἐπὶ χείλεσι δηχμὸν
τεύχουσιν, τοτὲ δ' αὖτε περὶ στόμα νείατα γαστρός· L1[I]
ἄλλοτε καὶ μεσάτη ἐπιδάκνεται ἄλγεσι νηδὺς ℂ
ἢ κύστις βρωθεῖσα· περιψαύουσι δ' ἀνῖαι,
θώρηκος τόθι χόνδρος ὑπὲρ κύτος ἕζετο γαστρός·
αὐτοὶ δ' ἀσχαλόωσιν, ἄλη δέ φιν ἤθεα φωτὸς
ἄψυχος πεδάει· ὃ δ' ἀελπέα δάμναται ἄταις,
οἷά τε δὴ γήρεια νέον τεθρυμμένα κάκτου
ἠέρ' ἐπιπλάζοντα διαψαίρουσι πνοῇσι.
τῶι δὲ σύ πολλάκι μὲν γληχώ ποταμηίσι νύμφαις
ἐμπλήδην κυκεῶνα πόροις ἐν κύμβει τεύξας,
νηστείρης Δηιοῦς μορόεν ποτόν, ὧι ποτε Δηιώ
λαυκανίην ἔβρεξεν ἀν' ἄστυρον Ἱπποθόωντος
Θρηίσσης ἀθύροισιν ὑπὸ ῥήτρῃσιν Ἰάμβης.
δήποτε δ' ἢ σιάλοιο καρήατος ἠὲ καὶ ἀμνοῦ
ἀμμίγδην σπεράδεσσιν ἐντροχάλοισι λίνοιο,
ἠὲ νέον κορσεῖα ταμών κερόεντα χιμαίρης,
ἢ ἔτι που χηνὸς μορόεν ποτὸν αἴνυσο χύτρου,
ἐς δ' ἔμετον κορέσαιο, τὰ δ' ἀθρόα νειόθι βράσσοις
ἐμμαπέως ἔτ' ἄπεπτα πύλῃ μεμιασμένα δόρπα.
πολλάκι δ' ἐν κλυστῆρι νέον γλάγος οἰὸς ἀμέλξας
κλύζε, τὰ δ' ἤλιθα γαστρὸς ἀφόρδια κεινώσειας· Nicander
ἄλλοτ' ἀλυσθαίνοντι ποθὲν γάλα πῖον ἀρήξει· Alexipharm.
ἠὲ σύ γ' ἀμπελόεντα γλυκεῖ ἔνι καύλεα κόψαις
χλωρὰ, νέον πετάλοισι περιβρίθοντα κυλούσας·
ἠὲ μελισσάων καμάτωι ἔνι παῦρα μορύξαις

Nicander Alexipharm.

μετρήδην — κοτύλη δὲ πέλοι καταμέστιος οἴνης —,
σὺν δὲ καὶ ἀβροτόνοιο ταμὼν ἄπο καύλεα θάμνου
ἢ χλωεροῦ πρασίοιο, τὸ δὴ μελίφυλλον ὑδεῦσι·
καί τε σὺ ποιήεντος ἀειθαλέος χαμελαίης
βλάστην πηγανιόν τε πόροις ἐν βάμματι σίμβλων,
σβεννὺς αἰθαλόεντα μύδρον γενύεσσι πυράγρης
ἠὲ σιδηρήεσσαν ἀπὸ τρύγα, τήν τε καμίνων
ἔντοσθεν χοάνοιο διχῇ πυρὰς ἤλασε λιγνύς,
ἄλλοτε δὲ χρυσοῖο νέον βάρος ἐν πυρὶ θάλψας
ἠὲ καὶ ἀργυρόεν θολερῶι ἐνὶ πώματι βάπτοις·
πολλάκι δ' ἡμιδαὲς χειρὸς βάρος αἴνυσο θρίων
παῦρα χαμαιπίτυος, τότ ὀνίτιδος αὖον ὀρείης
ἠὲ νέον ῥαδικα πολυκνήμοιο κολούσας,
τέτρασι δ' ἐν κυάθοισι χαδεῖν μελιανθέος οἴνης·
ἢ ἔτι μυελόεντα χαλικρότερον πότον ἴσχοις
ὄρνιθος στρουθοῖο κατοικάδος, εὖθ' ὑπὸ χύτρωι
γυῖα καταθρύπτηισι βιαζομένη πυρὸς αὐγή·
καί τε βοὸς νέα γέντα περιφλίοντος ἀλοιφῆι
τηξάμενος κορέσαιο ποτῶι εὐχανδέα νηδύν·
ναὶ μὴν βαλσάμοιο τότ' ἐν σταγόνεσσι γάλακτος
θηλυτέρης πώλοιο χέαις ὀπόν, ἄλλοτε νύμφαις,
ἔστ' ἂν ὑπὲκ φάρυγος χεύηι παναεργέα δόρπον.
πολλάκι δ' ἢ σκίνακος δερκευνεός ἢ ἀπὸ νεβροῦ
πυετίην τμήξαιο, πόροις δ' ἐν νέκταρι φύρσας,
ἄλλοτε καὶ μορέης ἀπὸ ῥίζεα φοινηέσσης,
ὄλμον ἐνὶ στύπεϊ προβαλὼν καὶ ὁμήρεα κόψας
οἴνωι, ἐνεψηθέντα πόροις καμάτοισι μελίσσης,
καί κεν ἐπικρατέουσαν ἀπεχθέα νοῦσον ἀλάλκοις
φωτὸς, ὁ δ' ἀσφαλεέσσι πάλιν μετὰ ποσσὶν ὁδεύοι.
  δεύτερα δ' αἰγλήεντος ἐπιφράζευ πόσιν ἐχθρὴν
κιρναμένην ὀλοοῦ ψιμυθίου, ἥ τε γάλακτι
πάντοθεν ἀφρίζοντι νέην εἰδήνατο χροιὴν,
πελλίσιν ἐν γρώνῃσιν ὅτ' εἴαρι πῖον ἀμέλξαις.
τοῦ μὲν ὑπὲρ γέννάς τε καὶ ἧι ῥυσαίνεται οὖλα
ἀφρὸς ἐπιστύφων ἐμπλάσσεται, ἀμφὶ καὶ ὁλκὸς
τέτρηχε γλώσσης, νέατος δ' ὑποκάρφεται ἰσθμός·
ξηρὰ δ' ἐπιλλύζων ὀλοῇ χελλύσσεται ἄτηι·
ἀβλεμὲς ἢ γὰρ κεῖνο πέλει βάρος, αὐτὰρ ὃ θυμῶι
ναυσιόεις ὄλοοῖσιν ὑποτρύει καμάτοισι·
πολλάκι δ' ἐν φαέεσσιν ἄλην ἑτερειδέα λεύσσων,
ἄλλοτε δ'ὑπναλέος ψύχει δέμας, οὐδ' ἔτι γυῖα
ὡς τὸ πάρος δονέει, καμάτωι δ' ὑποδάμναται εἴκων.
τῶι καὶ πρημαδίης ἢ ὀρχάδος εἶαρ ἐλαίης
ἢ ἔτι μυρτίνης σχεδίην δεπάεσσιν ὀρέξαις,
ὄφρ' ἂν ὀλισθήνασα χέηι κακὰ φάρμακα νηδύς·
ἠὲ σύ γ' οὐθατόεντα διοιδέα μαζὸν ἀμέλξας
ῥεῖα φέροις, φιαρὴν δὲ ποτοῦ ἀποαίνυσο γρῆυν.
καί τε σύ γ' ἢ μαλάχης ῥαδάμους ἢ φυλλάδα τήξας
χυλῶι ἐνὶ κλώθοντι κακηπελέοντα κορέσσαις.
πολλάκι σήσαμα κόπτε, πόροις δ' ἐν νέκταρι καὶ τά·

L2[O] ℂ

Nicander Theriaca

θυλακὶς ἢ ἐπιτηλὶς ἐπὶ χραίσμησιν ἀπείη.
σὺν δὲ κράδης κυέουσαν ἀποτμήξαιο κορύνην,
ἢ αὐτοὺς κόκκυγας ἐρινάδος, οἵ τε πρὸ ἄλλης
γογγύλοι δ' ἐκφαίνουσιν ἀνοιδείοντες ὀπώρης,
λάζεο καὶ πυράκανθαν, ἰδὲ φλόμου ἀργέος ἄνθην,
ἄμμιγα δ' αἰγιλιπός τε χελιδονίου τε πέτηλα,
δαύκειον, ῥίζαν τε βρυωνίδος, ἢ καὶ ἔφηλιν
θηλυτέρης ἐχθρήν τε χροῆς ὠμόρξατο λεύκην.
ἐν δὲ περιστερόεντα κατασμῶξατο πέτηλα,
ἢ καὶ ἀλεξιάρης πτόρθους ἀπαμείρεο ῥάμνου·
μούνη γὰρ δὴ σπεῖρα βροτῶν ἀπὸ κῆρας ἐρύκει.
ναὶ μὴν παρθενίοιο νεοδρέπτους ὀροδάμνους,
κόρκορον ἢ πεταλῖτιν ἀμέργεο, πολλάκι μίλτου
Λημνίδος, ἢ πάσῃσι πέλει θελκτήριον ἄταις.
δήποτε καὶ σικύοιο τάμοις ἐμπευκέα ῥίζαν
ἀγοοτέρου· νηδὺν δὲ καὶ ἐμβρίθουσαν ἀνίης
ἤμυνεν καὶ καρπὸς ἐυρρήχου παλιούρου,
σὺν καὶ ἀκανθοβόλος χαίτη, νεαλεῖς τ' ὀρόβακχοι
σίδης, ὑσγινόεντας ἐπιμύοντας ὀλόσχους
αὐχενίους ἵνα λεπτὰ πέριξ ἐνερεύθεται ἄνθη·
ἄλλοτε δ' ὕσσωπός τε καὶ ἡ πολύγουνος ὄνωνις,
φύλλα τε τηλεφίοιο, νέον τ' ἐν βότρυσι κλῆμα,
ἀγλῖθες, καὶ καρπὸς ὀρειγενέος κορίοιο,
ἢ καὶ λεπτοθρίοιο πολύχνοα φύλλα κονύζης.
πολλάκι δ' ἢ πέπεριν κόψας νέον ἢ ἀπὸ Μήδων
κάρδαμον ἐμπίσαιο· σὲ δ' ἂν πολυάνθεα γλήχων,
τρύχνον τ', ἠδὲ σίνηπι κακηπελέοντα σαώσαι.
ἄγρει καὶ πρασιῆς χλοερὸν πράσον, ἄλλοτε δ' αὐτῆς
σπέρμ' ὀλοὸν κνίδης, ἥ θ' ἐψίη ἔπλετο κούροις·
σὺν καί που νιφόεν σκίλλης κάρη, αὖά τε βολβῶν
σπείρεα, καὶ καυλεῖον ὁμοκλήτοιο δρακοντος,
ῥάμνου τ' ἀσπαράγους θαμνίτιδος, ἠδ' ὅσα πεῦκαι
ἀργότεραι στρόμβοισιν ὑπεθρέψαντο ναπαῖαι.
εἰ δὲ, σύ γ' ἐκ ποίης ἀβληχρέος ἔγχλοα ῥίζαν
θηρὸς ἰσαζομένην τμήξαις ἰοειδέϊ κέντρωι
σκορπίου, ἠὲ σίδας Ψαμαθηίδας, ἅς τε Τράφεια
Κῶπαί τε λιμναῖον ὑπεθρέψαντο παρ' ὕδωρ,
ἧιπερ Σχοινῆός τε ῥόος Κνώποιό τε βάλλει,
ὅσσα θ' ὑπ' Ἰνδὸν χεῦμα πολυφλοίσβοιο Χοάσπεω
πιστάκι' ἀκρεμόνεσσιν ἀμυγδαλόεντα πέφανται·
κυκλαμίδας, σὺν δ' αἰθὰ βάλοις φιμώδεα μύρτα,
κάρφεα θ' ὁρμίνοιο καὶ ἐκ μαράθου βρυόεντος,
εἰρύσιμόν τε καὶ ἀγροτέρου σπερμεί' ἐρεβίνθου
σὺν χλοεροῖς θάμνοισι βαλών βαρυώδεα ποίην.
ναὶ μὴν καὶ σίσυμβρα πέλει μειλίγματα νούσων,
σὺν δὲ μελιλλώτοιο νέον στέφος, ἠδ'ὅσα χαύνης
οἰνάνθης βρύα λευκὰ καναψήχουσι νομῆες,
ὅσσα τε λυχνὶς ἔνερθεν ἐρευθήεις τε θρυαλλὶς
καὶ ῥόδον, ἠδ' ἴα λεπτὸν ὅσον σπερμεῖον ἀέξει.
ἢ καὶ πουλύγονον λασίων ὑπάμησον ἰάμνων,

L2[O] ℂ

ψίλωθρον, καρπόν τε πολυθρήνου ὑακίνθου,
ὃν Φοῖβος θρήνησεν, ἐπεί ῥ᾽ ἀεκούσιος ἔκτα
παῖδα βαλὼν προπάροιθεν Ἀμυκλαίου ποταμοῖο,
πρωθήβην Ὑάκινθον, ἐπεὶ σόλος ἔμπεσε κόρσηι
πέτρου ἀφαλλόμενος, νέατον δ᾽ ἤραξε κάλυμμα.
σὺν δέ τε καὶ τριπέτηλον ὁποῖό τε δάκρυα βάλλοις
τρισσοῖς ὁλκήεσσιν ἰσοζυγέων ὀδελοῖσιν·
ἠὲ σύ γ᾽ ἕρπυλλον κεροειδέα, πολλάκι κρῆθμον,
ἢ ποίην κυπάρισσον ἀμέργεο, σὺν δὲ καὶ αὐτοῖς
ἄννησον Λιβυκάς τε ποτῶι ἐνικνήθεο ῥίζας.
ὧν σὺ τότ᾽ ἀμμίγδην, τοτε δ᾽ ἄνδιχα πίνεο θρύψας
ἐν κελέβηι, κεράσαι δὲ σὺν ὄξεϊ, πολλάκι δ᾽ οἴνηι
ἢ ὕδατι· χραισμεῖ δὲ καὶ ἐνθρυφθέντα γάλακτι.
ἤν δέ σ᾽ ὁδοιπλανέοντα καὶ ἐν νεμέεσσιν ἀνύδροις
νύχμα κατασπέρχηι, βεβαρημένος αὐτίκα ῥιζας
ἢ ποίην ἢ σπέρμα παρ᾽ ἀτραπιτοισι χλοάζον
μασταζειν γενύεσσιν ἀμελγόμενος δ᾽ ἀπὸ χυλὸν
τύμμασιν ἡμίβρωτα βάλοις ἔπι λύματα δαιτός,
ναὶ μὴν καὶ σικύην χαλκήρεα λοιγέι τύψει
προσμάξας ἰόν τε καὶ ἀθρόον αἷμα κενώσεις,
ἠὲ κράδης γλαγόεντα χέας ὀπὸν, ἠὲ σίδηρον
καυστειρῆς θαλφθεῖσαν ὑπὸ στέρνοισι καμίνου.
ἄλλοτε φορβάδος αἰγὸς ἐνίπλειον δέρος οἴνης
χραισμήσει τημοῦτος, ἐπὴν σφυρὸν ἢ χέρα κάψηι·
ἀσκοῦ ἔσω βαρύθοντα μέσου διὰ πῆχυν ἐρεῖσαι
ἢ σφυρόν, ἀσκοδέταις δὲ πέριξ βουβῶνας ἑλίξεις,
εἰσόκε τοι μένος οἴνου ἀπὸ χροὸς ἄλγος ἐρύξηι.
δήποτε καὶ βδέλλας κορέσαις ἐπὶ τύμμασι βόσκων,
ἢ ἀπὸ κρομμνόφι στάζων ὀπὸν, ἄλλοτε δ᾽ οἴνης
μίγδην ἐν πυράθοισι χέας τρύγα φυρήσασθαι
ἢ ὄξευς, νεαλεῖ δὲ πάτωι περὶ τύψιν ἑλίξαις.
ὄφρα δὲ καὶ πάσησιν ἀλεξητήριον ἄταις
τευξόμενος πεπύθοιο, — τό τοι μέγα κρήγυον ἔσται,
ἦμος ὅτε θρόνα πάντα μιῆι ὑπὸ χειρὶ ταράξηις·
ἐν μὲν ἀριστολόχεια, καὶ ἴριδος, ἐν δέ τε νάρδου
ῥίζαι, χαλβανίδες τε σὺν αὐαλέεσσι πυρέθροις
εἶεν, δαυκείου τε παναλθέος, ἐν δὲ βρυώνης,
σὺν δέ τι ῥίζεα χαῦνα νεωρυχέος γλυκυσίδης,
κάρφεά τ᾽ ἐλλεβόρου μελανόχροος, ἄμμιγα θ᾽ ἀφρὸς
λίτρου· σὺν δὲ κύμινα χέαις βλαστόν τε κονύζης,
ἄμμιγα δ᾽ ἀγροτέρης σταφίδος λέπος· ἶσα δὲ δάφνης
σπερμεῖα, κύτισόν τε, κατακνήθειν τε χαμηλὴν
ἵππειον λειχῆνα, καὶ ἐν κυκλάμινον ἀγείρας·
ἐν καὶ μήκωνος φιαρῆς ὀπὸν, ἀμφὶ καὶ ἄγνου
σπέρματα, βάλσαμον τε καὶ ἐν κινέμοιο βαλέσθαι,
σὺν καὶ σφονδύλειον, ἁλός τ᾽ ἐμπληθέα κύμβην,
Nicander ἄμμιγα καὶ τάμισον καὶ καρκίνον· ἀλλ᾽ ὁ μὲν εἴη
Theriaca πτωκὸς, ὁ δ᾽ ἐν ποταμοῖσι πολυστίοισι νομάζων.
καὶ τὰ μὲν ἐν στύπεϊ προβαλὼν πολυχανδέος ὅλμου
μάξαι λαϊνέοισιν ἐπιπλήσσων ὑπέροισιν·
αἶψα δ᾽ ἐπ᾽ αὐαλέοισι χέας ἀπαρινέα χυλὸν
ἄμμιγα συμφύρσαιο, καταρτίζοιο δὲ κύκλους
δραχμαίους πλάστιγγι διακριδὸν ἄχθος ἐρύξας,
οἴνης δ᾽ ἐν δοιῆισι χαδεῖν κοτύληισι ταράξας.
καὶ κεν Ὁμηρειοιο καὶ εἰσέτι Νικάνοροιο
μνῆστιν ἔχοις, τὸν ἔθρεψε Κλάρου νιφόεσσα πολίχνη. Theriaca

Εἰ καὶ μὴ σύγκληρα κατ᾽ Ἀσίδα τείχεα δῆμοι
τύρσεσιν ἐστήσαντο, τέων ἀνεδέγμεθα βλάστας,
Πρωταγόρη, δολιχὸς δὲ διάπροθι χῶρος ἐέργει,
ῥεῖά κέ τοι ποσίεσσιν ἀλέξια φαρμακοέσσαις
αὐδήσαιμ᾽, ἅτε φῶτας ἐνιχριμφθέντα δαμάζει·
ἦ γὰρ δὴ σὺ μὲν ἄγχι πολυστροίβοιο θαλάσσης
ἄρκτον ὑπ᾽ ὀμφαλόεσσαν ἐνάσσαο, ἧχί τε Ῥείης
Λοβρίνης θαλάμαι τε καὶ ὀργαστήριον Ἄττεω,
αὐτὰρ ἐγώ, τόθι παῖδες εὐζήλοιο Κρεούσης
πιστάτην ἐδάσαντο γεωμορίην ἠπείρου,
ἑζόμενος τριπόδεσσι παρὰ Κλαρίοις Ἑκάτυιο. —
Ἀλλ᾽ ἤτοι χολόεν μὲν ἰδὲ στομίοισι δυσαλθὲς
πνυθείης ἀκόνιτον, ὃ δή ῥ᾽ Ἀχερωίδες ὄχθαι
φύουσιν, τόθι χάσμα δυσέκδρομον Εὐβουλῆος
ἄστυρά τε Πριόλαο καταστρεφθέντα δέδουπε.
τοῖο δὲ πάντα χαλινὰ καὶ οὐρανόεσσαν ὑπήνην
οὖλα θ᾽ ὑποστύφει χυλόεν ποτὸν, ἀμφὶ δὲ πρώτοις
εἱλύεται στέρνοισι κακῆι ἀλάλυγγι βαρῦνον
φῶτ᾽ ἐπικαρθιόωντα· δύηι δ᾽ ἐπιδάκνεται ἄκρον
νειαίρης ἄκλειστον ἀειρόμενον στόμα γαστρός,
τεύχεος ἣν κραδίην ἐπιδορπίου, οἱ δὲ δοχαίην
κλείουσι στομάχοιο, πύλη δ᾽ ἐπικέκλιται ἀρχαῖς
πρωτα κόλων, ὅθι πᾶσα βροτῶν ἄλις ἐμφέρεται δαῖς·
αἰεὶ δ᾽ ἐκ φαέων νοτέων ὑπολείβεται ἱδρώς·
ἡ δὲ ταρασσομένη τὰ μὲι ἔβρασεν ἤλιθα νηδὺς
πνεύματα, πολλοὶ δ᾽ ἔνερθε κατὰ μέσην ὄμφαλον ἵζει·
κράατι δ᾽ ἐν βάρος ἐχθρὸν, ὑπὸ κροτάφοισι δὲ παλμὸς
πυκνός ἐπεμφέρεται, τὰ δὲ διπλόα δέρκεται ὄσσοις
οἷα χαλικραίηι νύχιος δεδαμασμένος οἴνηι.
ὡς δ᾽ ὁπότ᾽ ἀγριόεσσαν ὑποθλίψαντες ὀπώρην
Σιληνοὶ κεραοῖο Διωνύσοιο τιθηνοὶ
πρῶτον ἐπαφρίζοντι ποτῶι φρένα θωρηχθέντες
ὄθμασι δινήθησαν ἔπι, σφαλεροῖσι δὲ κώλοις
Νυσαίην ἀνὰ κλιτὺν ἐπέδραμον ἀφραίνοντες,
ὣς οἵγε σκοτόωσι κακῆι βεβαρηότες ἄτηι.
τὴν μέν τε κλείουσι μυοκτόνον, ἦ γάρ ἀνιγρούς
παμπήδην ὕρακας λιχμήμονας ἠρήμωσεν,
οἱ δέ τε πορδαλιαγχὲς, ἐπεὶ θήρεσσι πελόροις
πότμον βουπελάται τε καὶ αἰγινομῆες ἔθεντο
Ἴδης ἐν νεμέεσσι Φαλακραίηι ἐνὶ βήσσηι, Nicander
πολλάκι θηλυφόνον καὶ κάμμορον· ἐν δ᾽ Ἀκοναίοις Alexi-
δηλήειν ἀκόνιτον ἐνεβλάστησεν ὀρόγκοις. pharm.
τῶι καί που τιτάνοιο χερὸς βάρος ἔσσεται ἄρκος
πιμπλαμένης, ὅτε νέκταρ ἐύτριβι κιρρὸν ἀφύσσεις